a. ἔχοντες τὰς ὁμολογίας· εἶμεν ποτιδεδομένον χρόνον Εὐβώλυ ἐπὶ νομίας Ϝέτια πέτταρα βούεσσι σουν ἵππυς διακατίης Ϝίκατι, προβάτυς σουν ἤγυς χειλίης. ἄρχι τῶ χρόνω ὁ ἐνίαυτος ὁ μέτα Θύναρχον ἄρχον-
b. τα Ἐρχομενίυς. ἀπογράφεσθη δὲ Εὔβωλον κατ' ἐνίαυτον ἕκαςον πὰρ τὸν ταμίαν κὴ τὸν νομώναν τά τε καύματα τῶν προβάτων κὴ τᾶν ἤγων κὴ τᾶν βούων κὴ τᾶν ἵππων, κἤκα τινὰ ἄσαμα ἴωνθι, κὴ τὸ πλεῖθος. μεὶ ἀπογραφέσθω δὲ πλίονα τῶν γεγραμ-

Ἐρχομένυ, böot. für Ὀρχομένῳ §. 3, 2. Die Orchomenier nannten sich Erchomenier; daher auch unten Pind. Ol. XIV, 2.

Ϝελατιῆ[ϊ] nach Boeckh, andere Lesart Ἐλατιῆϋ. Von Ἐλατιειεὺς (Elatiensis wäre böotisch Ϝελατιεῖϊ, wie §. 1. Φωκεῖι. — κάττας ὁμολογίας nach der im Theiluthios über die Zahlung getroffenen Uebereinkunft. κάττας äolische Betonung §. 39, II, a. 1., wie unten a. ἐπὶ νομίας für νομιᾶς i. e. ἐπὶ τὰς νομάς, zur Benutzung der Weide, da νομιά für νομή nicht vorkommt. — οὐθὲν für οὐδὲν, äolisch; das θ war von Alters her nach Eustathios bey den Aeoliern gebräuchlich und kam erst später in die gewöhnliche Sprache. — πὰρ τὰν πόλιν eine ungewöhnliche Verbindung für παρὰ τῆς πόλεως, die sich dem Neugriechischen nähert, das aus der ländlichen Mundart entstanden ist, worin sich viel Dorisches und Aeolisches erhielt. §. 15, a. — ἀπέχι, wie unser hinhaben, weghaben; so noch im N. Testam. ἀπέχουσι τὸν μισθόν — πόλι §. 21, 3. und §. 50, B, 5. —

a. βούεσσι scheint vom Nominativ βοῦς fortgebildet zu seyn. — πέτταρα, ein Uebergang zu πίσσυρες, πίσυρες §. 13, A, b, 4. und §. 5, 1.; so Ϝίκατι f. εἴκοσι, διακάτιοι f. διακόσιοι. §. 13, B, c, 3, d. —

b. νομώναν dem Generalpachter des Weidegeldes, sonst τελώνης, θεατρώνης, scriptuarius. — καύματα, die Brandmahle, womit die Thiere bezeichnet waren, im

μένων ἐν τῆ σουγχωρεῖσι. ἡ δὲ κά τις [σουλάσ]η τὸ c.
ἐννόμιον Εὔβωλυν, ὀφειλέ[τω ἁ πό]λις τῶν Ἐρχο-
μενίων ἀργουρίω [μνᾶς] πετταράκοντα Εὐβώλυ καθ'
ἕκαστον ἐνίαυτον, κὴ τόκον φερέτω δράχμας [δοῦω]
τᾶς μνᾶς ἑκάςας κάτα μεῖνα [ἕκασ]τον, κὴ ἔμπρα-
κτος ἔστω Ευβ[ώλυ ἁ πόλις] τ[ῶ]ν Ἐρχομενί[ω]ν.

No. 4. Μνασίνω ἄρχοντος ἀγωνοθετίοντος
τῶν Χαριτεισίων Εὐάριος τῶ Πάν-
τωνος τύδε ἐνίκωσαν τὰ Χαριτείσια.

Σαλπιγκτάς
Φιλῖνος Φιλίνω Ἀθανεῖος.
Κάρουξ
Εἰρώδας Σωκράτιος Θειβεῖος.
Πυειτάς
Μήςωρ Μήςορος Φωκαιεύς.

Gegensatz der ἄσαμα. — ἐ. τ. σουγχωρεῖσι in der Verwilligungsurkunde nach a — σουλάσῃ für συλήσῃ von Boeckh ergänzt, mit doppeltem Acc. wie bey Homer. — τὸ ἐννόμιον, ὅ ἐςιν ἐν νομῇ das Weidevieh. — δοῦω §. 55, 2 — ἔμπρακτος ἔςω — ἁ πόλις der Staat der Erchomenier soll von Eubulos zur Zahlung der bestimmten Summe und Zinsen angehalten werden.

No. 4. Auch diese Inschrift ist von Meletios neben der vorigen zuerst mitgetheilt worden — Boeckh Staatshaush. der Athen. II, 359 etc. Sie hat gleiches Alter und gleichen Dialect mit der vorigen; die Accente sind nach Meletios geblieben, aber nicht äolisch, wie in der vorigen.

2. Χαριτεισίων, ein Fest zu Ehren der Chariten, die in Orchomenos ihren berühmtesten Tempel hatten. Paus. VIII, 35. Pind. Ol. XIV. — ἐνίκωσαν f. ἐνίκων, mit dem vollern Ausgange — 4. 6. Σαλπιγκτάς (§. 33, D.) — κάρουξ — ohne Zweifel hielten an den meisten heiligen Spielen auch Trompeter und Herolde Wettkämpfe; daher das Lob ihrer kräftigen Stimme. Athen. X, 415, F. — 8. ποειτάς (§. 67, 4. c.) i. e. ποητὴς ἐπῶν, auf einer attischen Inschrift. — 9. Φωκαιεύς, eigentlich

῾ΡαψαϜυδός
Κράτων Κλίωνος Θειβεῖος.
Αὐλειτάς
Περιγένεις ῾Ηρακλίδαο Κουζικηνός.
ΑὐλαϜυδός
Δαμήνετος Γλαύκω ᾿Αργῖος.
Κιθαριστάς
᾿Αγέλοχος ᾿Ασκλαπιογένιος Αἰολεὺς ἀπὸ Μουρίνας.
ΚιθαραϜυδός
Δαμάτριος ῾Αμαλωΐω Αἰολεὺς ἀπὸ Μουρίνας.
ΤραγαϜυδός
᾿Ασκλαπιόδωρος Πουθέαο Ταραντῖνος.
ΚωμαϜυδός
Νικόστρατος Φιλοστράτω Θειβεῖος.
Τὰ ἐπινίκια κωμαϜυδός
Εὔαρχος Εἰροδότω Κορωνεύς.

nach der obigen Inschr. §. 1. φωκειεύς. — 12. αὐλειτάς Flötenspieler. — 14. ΑὐλαϜυδός, Flötensänger. — 20. 22. ΤραγαϜυδός – ΚωμαϜυδός; die Vergleichung mit jüngern agonistischen Inschriften zeigt, daß bey Tragöden und Komöden blos an Gesang zu denken ist, nicht an Schauspiel, welches sich erst später an jenem ausbildete und immer durch den Beysatz ὑποκριτής (Schauspieler) bezeichnet wird. Lyrische Tragödie und Komödie bestand von Alters her bey den Doriern und Aeoliern als ausgebildete Gattung. Das eigentliche Drama verbreitete sich erst späterhin von Athen aus. 24. So wurde auch zur Siegesfeyer (ἐπινίκια) ein festlicher κῶμος gehalten, ohne ὑποκριτής. — 17 und 19. Μουρίνας, Myrina, ein berühmter Hafen in Aeolis, 40 Stadien nördlich von Cyme.

c. Lakedämonisch.

No. 5. Beschluß der Lakedämonier gegen Timotheos.

'Επειδὴ Τιμόσεορ ὁ Μιλήσιορ παραγινόμενορ ἐττὰν ἁμετέραν πόλιν τὰν παλαιὰν μῶαν ἀτιμάσδη, καὶ τὰν διὰ τᾶν ἑπτὰ χορδᾶν κισάριξιν ἀποςρεφόμενορ πολυφωνίαν εἰσάγων λυμαίνεται τὰρ ἀκοὰρ τῶν νέων, διά τε τᾶρ πολυχορδίαρ καὶ τᾶρ καινότατορ τῶ μέλεορ ἀγεννέα καὶ ποικίλαν ἀντὶ ἁπλᾶρ καὶ τεταγμέναρ ἀμφιέννυται τὰν μῶαν ἐπὶ χρώματορ συνιςάμενορ τὰν τῶ μέλεορ δίεσιν ἀντὶ τᾶρ §. 1.

No. 5. Timotheos von Milet, ein vorzüglicher Musiker, aber weniger glücklich als tragischer und dithyrambischer Dichter (Athenaeus III, 122, d, VIII, 341, d.), um die Zeit des Euripides, hatte die siebensaitige Lyra mit vier Saiten vermehrt, um dem Gesange eine vielfachere Begleitung zu geben. Als er einst in Sparta bey den Karneen (Κάρνεια zu Ehren des Apollo), wo die Καρνεῖοι νόμοι des Terpander gewöhnlich waren, mit dieser Neuerung auftrat, und auch am Feste der Eleusinischen Demeter bey Absingung eines Gedichtes (ὠδὶν Σεμέλης) sich manche Unschicklichkeit erlaubt hatte, ließen die Ephoren folgenden Beschluß gegen ihn ergehen. Boethius de Musica I, 1, p. 1372. ed. Basil. 1570 fol. — Athenaeus XIV, 636, e. f. animadv. Casaub. ad l. VIII, 352. a.

§. 1. Τιμόσεορ über das alte lakedämonische ρ, das hier durchgängig herrscht, siehe §. 13, B, c, 3, c. — über σ für ϑ II. No. 1, 4. — ἐττάν, ἐττόν II. No. 2, 14. §. 13. B, c, 3, b. — μῶαν II. No. 1, 3. ἀτιμάσδη I, 2, 3, §. 34, A, 1. — τᾶν χορδᾶν, I No. 1, 25. 26. II. No. 1. 21. κισάριξιν §. 13, B, c, 3, f. — ἀντὶ ἁπλᾶρ καὶ τεταγμέναρ bezieht sich auf die vom Terpander, dem ersten Sieger in den Karneen, eingeführte Gesangsweise mit der κίϑαρις ἑπτάχορδος. — μῶαν ἐπὶ χρώματορ — ἀντὶ τᾶρ ἐναρμονίω. In der Musik der Alten werden drey Systeme unterschieden, das enharmonische, chromatische und diatonische. — Die enharmonische Weise ist nach dem Urtheile der Alten die

2. ἐναρμονίω ποττὰν ἀντίστροφον ἀμοιβάν, παρακληθεὶς δὲ καὶ ἐττὸν ἀγῶνα τᾶρ Ἐλευσινίαρ Δάματρος ἀπρεπέα διαείσατο τὰν τῶ μύσω διασκευάν, τὰρ τᾶρ Σεμέλαρ ὠδῖναρ οὐκ ἔνδικα τὼρ νέωρ δι-
3. δάκκη, δεδόχθαι φὰν περὶ τούτων τὼρ βασιλέαρ τὼρ Ἐφόρωρ μεμψάσσαι Τιμόσεον, ἐπαναγκάσαι δὲ καὶ τᾶν ἕνδεκα χορδᾶν ἐκταμόντα τὰρ περιττὰρ ὑπολίπην μόνον τὰρ ἑπτὰ, ὅπωρ ἕκαςορ τὸ τᾶρ πόλιορ βάρορ ὁρῶν εὐλάβηται ἐττὰν Σπάρταν ἐπιφέρην τι τῶν ἠθῶν μὴ ποττᾶρ ἀρετᾶρ κλέορ ἀγόντων.

No. 6. Friedensvorschläge der Lakedämonier an die Argeier — Kriegsbündniß zwischen beyden.

§. 1. Καττάδε δοκεῖ τᾷ ἐκκλησίᾳ τῶν Λακεδαιμονίων
2. ξυμβαλέσθαι ποττὼς Ἀργείως· ἀποδιδόντας τὼς παῖ-

zarteste und lieblichste; sie erhielt sich aber nur bis auf Alexander den Großen und auch Plutarch (περὶ μουσικῆς, VII.) beklagt ihren Verlust. Die chromatische drückt die innigste Bewegung des leidenden Gemüths aus; die diatonische herrscht in der neuern Musik allein vor.

§. 2. Am Eleusinischen Feste, wo die bekränzte Statue des Bakchos feierlich begleitet wurde, ertönten vorzüglich Klaggesänge, um Ehrfurcht gegen die Götter einzuflößen. Timotheos hatte dazu ein Gedicht auf die Geburt des Bakchos (ὠδὶν Σεμέλης) verfertigt, ließ aber darin die Semele in so unwürdige Klagen ausbrechen, daß die entgegengesetzte Wirkung hervorgebracht wurde: Athenaeus VIII, 352, a. läßt einen berühmten Musiker darüber also urtheilen: ἐπακούσας δὲ τῆς Ὠδῖνος τῆς Τιμοθέου· „Εἰ δ' ἐργολάβον, ἔφη, ἔτικτε, καὶ μὴ θεὸν, ποίας ἂν ἠφίει φωνάς;" —

§. 3. μεμψάσσαι. das zweite σ, wie in Τιμόσεον. φάν §. 32, B, 2. vergl. mit §. 35, 6. — διδάκκη §. 13, B, c, 3, b. §. 34, A, 1. — ὑπολίπην, ἐπιφέρην §. 34, E, c, d.

No. 6. Nach der Niederlage des Athenäisch-Argeiischen Heeres bey Mantinea machten die Lakedämonier im Winter des 14. Jahres des Peloponn. Krieges den Argeiern folgende Friedensvorschläge Thuc. V, 77—79.

δας τοῖς Ὀρχομενίοις, καὶ τὼς ἄνδρας τοῖς Μαιναλίοις, καὶ τὼς ἄνδρας τὼς ἐν Μαντινείᾳ τοῖς Λακεδαιμονίοις ἀποδιδόντας, καὶ ἐξ Ἐπιδαύρω ἐκβῶντας, καὶ τὸ τεῖχος ἀναιροῦντας. αἰ δέ κα μὴ εἴκωντι τοὶ 3. Ἀθηναῖοι ἐξ Ἐπιδαύρω, πολεμίους ἦμεν τοῖς Ἀργείοις καὶ τοῖς Λακεδαιμονίοις καὶ τοῖς τῶν Λακεδαιμονίων ξυμμάχοις καὶ τοῖς τῶν Ἀργείων ξυμμάχοις. καὶ ἄν τινα τοὶ Λακεδαιμόνιοι παῖδα ἔχωντι, 4. ἀποδόμεν ταῖς πολίεσι πάσαις. περὶ δὲ τῷ σιῷ, συμ- 5. βατόσαιμεν λῆν τοῖς Ἐπιδαυρίοις ὅρκον, δῶμεν δὲ αὐτοὺς ὀμόσαι. τὰς δὲ πόλιας τὰς ἐν Πελοποννάσῳ 6. καὶ μικρὰς καὶ μεγάλας, αὐτονόμους ἦμεν πάσας κattὰ πάτρια. αἰ δέ κα τῶν ἐκτὸς Πελοποννάσου 7. τὶς ἐπὶ τὰν Πελοπόννασον γᾶν ἴῃ ἐπὶ κακῷ, ἀλεξέμεναι ἁμόθι βουλευσαμένους, ὅπα καὶ δικαιότατα

§. 1. καττάδε, 1. ποττώς, 6. καττά, §. 38, B, 2. — Ἀργείως - τώς, §. 7. (II, 1, 1.) — §. 2. ἀποδιδόντας sc. τοὺς Ἀργείους — τοῖς Ὀρχομεν. Mit Hülfe der Athenäer hatten die Argeier Orchomenos in Arkadien weggenommen. — Μαιναλίοις; westlich von Tegea, das sie ebenfalls bedrohten. — Μαντινείᾳ, die Mantineer waren auf der Seite der Athenäer und hatten einen Flügel des lakedämonischen Heeres zum Weichen gebracht. — Ἐξ Ἐπιδαύρω (§. 7.). Nach der großen Niederlage warf sich das noch durch Eleer verstärkte athenäische Heer auf Epidaurus und umschloß es mit einer Mauer. — §. 3. αἰ - κα §. 38, A, 1. — εἴκωντι, §. 4. ἔχωντι §. 34, A, 5. 7. τοί §. 29, 1. ἦμεν (6.) §. 37, II. — §. 4. ἀποδόμεν — 5. δῶμεν (auch δόμεν) — 7. ἀλεξέμεναι §. 34. E, 1, a. b. und §. 36, 5. — πολίεσι, 6. πόλιας. §. 21. 3. — §. 5. περὶ δὲ τῷ σιῷ συμβατόσαιμεν; letzteres ein sonst ungewöhnliches Wort; daher mit Heilmann besser die Lesart der Casselischen Handschrift: σύματος ἔμεν (besser εἶμεν, oder ἦμεν, wie §. 3. und §. 6.) in Beziehung auf V, 53. Ἐπιδαυρίοις καὶ Ἀργείοις πόλεμος ἐγένετο, προφάσει μὲν περὶ τοῦ θύματος τοῦ Ἀπόλλωνος τοῦ Πυθέως, ὃ δέον ἀπαγαγεῖν, οὐκ ἀπέπεμπον ὑπὲρ βοταμίων Ἐπιδαύριοι. κυριώτατοι δὲ τοῦ ἱεροῦ ἦσαν Ἀργεῖοι. Dann ist aber vor τῷ σιῷ noch ein τῷ nöthig, was leicht ausfallen konnte. — Ueber σιῷ - σύματος siehe vorher No. 5, 1. — λῆν §. 34, E, 1, d. — αὐτοὺς i. e. Λακεδαιμονίους. — ἁμόθι sonst ungebräuchlich, aber noch in μηδαμόθι,

8. δοκῇ τοῖς Πελοποννασίοις. ὅσοι δ' ἐκτὸς Πελοπον-
νάσω τῶν Λακεδαιμονίων ξύμμαχοι ἐντὶ, ἐν τῷ αὐτῷ
ἐσοῦνται, ἐν τῷπερ καὶ τοὶ τῶν Λακεδαιμονίων καὶ
τοὶ τῶν Ἀργείων ξύμμαχοι ἐντὶ, τὰν αὐτῶν ἔχον-
9. τες. ἐπιδείξαντας δὲ τοῖς ξυμμάχοις ξυμβαλέσθαι, αἴ
κα αὐτοῖς δοκῇ, αἰ δέ τι καὶ ἄλλο δοκῇ τοῖς ξυμμά-
χοις, οἴκαδ' ἀπιάλλειν.
10. Τοῦτον μὲν τὸν λόγον προσεδέξαντο πρῶτον οἱ
Ἀργεῖοι· καὶ τῶν Λακεδαιμονίων τὸ στράτευμα· ἀνε-
χώρησεν ἐκ τῆς Τεγέας ἐπ οἴκου· μετὰ δὲ τοῦτο,
ἐπιμιξίας οὔσης ἤδη παρ' ἀλλήλους, οὐ πολλῷ ὕστερον
ἔπραξαν αὖθις οἱ αὐτοὶ ἄνδρες, ὥστε τὴν Μαντινέων
καὶ Ἠλείων καὶ τὴν Ἀθηναίων ξυμμαχίαν ἀφέντας
Ἀργείους, σπονδὰς καὶ ξυμμαχίαν ποιήσασθαι πρὸς
Λακεδαιμονίους. καὶ ἐγένοντο αἵδε.
11. Καττάδε ἔδοξε τοῖς Λακεδαιμονίοις καὶ Ἀργείοις
σπονδὰς καὶ ξυμμαχίαν ἦμεν πεντηκονταετῆ· ἐπὶ τοῖς
12. ἴσοις καὶ ὁμοίοις δίκας διδόντας καττὰ πάτρια· ταὶ
δὲ ἄλλαι πόλεις ταὶ ἐν Πελοποννάσῳ, κοινᾶν ἐόντων

οὐδαμόθι kenntlich i. e. usquam, wo es auch sey. vergl. ἀμόθεν Odyss. ά, 10. — §. 8. §. 13. ἐντί, ἐσοῦνται §. 37, II. — ἐν τῷπερ - τοί §. 29, 1. für sie gelten dieselben Bedingungen - τὰν αὐτῶν sc. γᾶν.

§. 9. ἐπιδείξαντας sc. Ἀργείους καὶ Λακεδαιμονίους — ξυμβαλέσθαι muß auch zu αἴκα αὐτοῖς δόκῃ gedacht werden - ἀπιάλλειν sc. τοὺς ξυμμάχους (Obj.) sie entlassen, ohne sie weiter zum Bündnisse zu nöthigen, was oft mit ausbedungen wurde. Nicht unwahrscheinlich ist die Vermuthung, daß auch für αἰ δέ τι καί, wie vorher, αἰ δέ τί κα gestanden habe, doch findet sich auch blos αἰ (εἰ) mit dem Conj. I, 139. VI, 21. vergl. unten No. 9. e zu Ende.

§. 10. οἱ αὐτοὶ ἄνδρες, dieselben, welche auch das Volk zur Annahme der vorhergehenden Friedensvorschläge gestimmt hatten, die aristokratische Parthey in Argos. —

§. 11. πεντηκονταετῆ §. 78, 2. — ἐπὶ τοῖς ἴσ. κ. ὁμ. sub aequo et pari nach Recht und Billigkeit, so daß keiner Parthey ein Vorrecht zukommt. — διδόντας geht auf beyde Theile gegenseitig, und ist mit ἔδοξε zu verbinden. — §. 12. κοινᾶν ἐόντων, nach Valckenaers Vermuthung κοινανεόντων (§. 34. D. 3.) auf ταὶ-πόλιες bezogen, das ohne Verbum finitum steht, dor. für κοινωνεόντων

τᾶν σπονδᾶν καὶ τᾶν ξυμμαχιᾶν, αὐτόνομοι καὶ αὐ-
τοπόλιες, τὰν αὑτῶν ἔχοντες, καττὰ πάτρια δίκας
διδόντες τὰς ἴσας καὶ ὁμοίας. ὅσοι δὲ ἔξω Πελοπον- 13.
νάσου Λακεδαιμονίοις ξύμμαχοι ἐντὶ, ἐν τοῖς αὐτοῖς
ἐσοῦνται, τοῖσπερ καὶ τοὶ Λακεδαιμόνιοι. καὶ τοὶ
τῶν Ἀργείων ξύμμαχοι ἐν τῷ αὐτῷ ἐσοῦνται, τῷπερ
καὶ τοὶ Ἀργεῖοι, τὰν αὑτῶν ἔχοντες. αἰ δέ ποι στρα- 14.
τιᾶς δέῃ κοινᾶς, βουλεύεσθαι Λακεδαιμονίως καὶ
Ἀργείως, ὅπα κα δικαιότατα κρίναντας τοῖς ξυμμά-
χοις. αἰ δέ τινι τᾶν πολίων ᾖ ἀμφίλογα, ἢ τᾶν ἐντὸς 15.
ἢ τᾶν ἐκτὸς Πελοποννάσου, αἴτε περὶ ὅρων, αἴτε
περὶ ἄλλου τινὸς, διακριθῆμεν. αἰ δέ τις τῶν ξυμ- 16.
μάχων πόλις πόλει ἐρίζοι, ἐς πόλιν ἐλθεῖν, ἄν τινα
ἴσαν ἀμφοῖν ταῖς πολίεσι δοκοίη. τοῖς δὲ ἔταις καττὰ
πάτρια δικάζεσθαι.

No. 7. Beschluß der Byzantier.

Ἐπὶ Ἱερομνάμονος Βοσπορίχω, Δαμάγητος §. 1.
ἐν τᾷ ἁλίᾳ ἔλεξεν, ἐκ τᾶς βωλᾶς λαβὼν ῥήτραν·

— ετωσαν; nur darf ἐόντων als Imperativform keinen Anstoß geben, vergl. §. 84, III, 5. — §. 14. ςρατιᾶς, al. ςτρατείας, was auch ποι zu erfordern scheint. Λακεδαιμονίως κ. Ἀργ. (§. 19, 3.) schien auch oben §. 5 u. 6. αὐτοίς – αὐτονόμως nöthig zu machen, indeß ist die Form auf ως bey Adjectiven seltner. — ὅπα κα (§. 38. A, 1. u. 3.) δικαιύτατα sc. εἴη — κρίναντας entscheiden, wie viel die Bundesgenossen an Truppen und Geld zu liefern hätten.

§. 15. διακριθῆμεν §. 34, E, 1, b. gehört zu ἔδοξε, wie weiter ἐλθεῖν und δικάζεσθαι. —

§. 16. ἄν τινα i. e. ἄντινα, wie auch einige Codices haben, ἴσαν i. e. ἴσως δικάζουσαν — ἔτοις i. e. πολίταις. —

No. 7. Demosth. de Corona 255, 20. ed. Reiske. — Die Athenäer hatten den Byzantiern im Kriege gegen Philipp von Makedonien vorzüglich auf Anrathen des Demosthenes Hülfstruppen gesandt und durch Phokion endlich den König Philipp genöthigt, die Belagerung von Byzanz aufzuheben. Die geretteten Byzantier fassen daher, vereint mit den Perinthiern, aus Dankbarkeit gegen die Athenäer folgenden Beschluß ab (um die Mitte des Jahrs 339).

2. ἐπειδὴ ὁ δᾶμος ὁ Ἀθηναίων, ἔν τε τοῖς προγενομένοις καιροῖς εὐνοέων διατελεῖ Βυζαντίοις, καὶ τοῖς ξυμμάχοις, καὶ συγγενέσι Περινθίοις, καὶ πολλὰς καὶ μεγάλας χρείας παρέσχηται, ἔν τε τῷ παρεστακότι καιρῷ, Φιλίππω τῶ Μακεδόνος ἐπιστρατεύσαντος ἐπὶ τὰν χώραν, καὶ τὰν πόλιν, ἐπ' ἀναστάσει Βυζαντίων, καὶ Περινθίων, καὶ τὰν χώραν δαίοντος καὶ δενδροκοπέοντος, βοηθήσας πλοίοισιν ἑκατὸν καὶ εἴκοσι, καὶ σίτῳ καὶ βέλεσι, καὶ ὁπλίταις, ἐξείλετο ἄμμε ἐκ τῶν μεγάλων κινδύνων, καὶ ἀποκατέστασε τὰν πάτριον πολιτείαν, καὶ τὼς νόμως, καὶ
3. τὼς τάφως, δεδόχθαι τῷ δάμῳ τῷ Βυζαντίων, καὶ Περινθίων, Ἀθηναίοις δόμεν ἐπιγαμίαν, πολιτείαν, ἔγκτασιν γᾶς, καὶ οἰκιᾶν, προεδρίαν ἐν τοῖς ἀγῶσι,

§. 1. Ἱερομνήμων (ἱεροῦ μνήμων) die erste obrigkeitliche Würde in Byzanz, wie in Athen der Archon, mit der zugleich die Besorgung der Opfer und des öffentlichen Gottesdienstes verbunden war. Pontifex Maximus. — Der Beschluß wurde abgelesen. Βοσπορίχω – βωλᾶς §. 7. Βοσπορίχω hier der Name des Hieromnemon, der bey Beschlüssen und Urkunden selten weggelassen wird; aber §. 4. die dorische Form für Βόσπορος.

§. 2. εὐνοέων (§. 34. A, 7.) διατελεῖ Buttm. gr. Gr. §. 131, 8. letzteres bedarf keiner Umänderung in διετέλει, sondern schließt die Vergangenheit in sich, die noch in der Gegenwart fortdauert, wie παρέσχηται. Die weiter unten folgenden Aoriste ἐξείλετο – ἀποκατέστασε drücken blos die öfters wiederholte Handlung aus. Vergl. oben No. 5. wo auch in gleichem Sinne Präsens und Aorist͡us wechseln. — συγγενέσι Περινθίοις. Perinthos, später Heraklea, südwestlich von Byzanz, eine griechische Colonie und Vestung, die von Philipp angegriffen wurde. Byzanz, durch den Megareer (daher auch der dorische Dial.) Byzas gestiftet (συγγενέσι), kam ihr zu Hülfe, zog sich aber dadurch selbst eine Belagerung zu. Diod. Sicul. XVI, 74. 76. rc. — ἄμμε II, 1, 4. — τὼς νόμως – τάφως 3. βωλάν, vorher No. 6, 1. —

§. 3. δεδόχθαι, das eigentliche Wort von Beschlüssen, zu ἔλεξεν §. 1. construirt, No. 5, 3. — δόμεν No. 6, 4. 5. — ἐπιγαμίαν, das Recht in ihren Städten Verbindungen einzugehen, war nur eine Folge des Bürgerrechts (πολιτείας). – ἔγκτασιν γᾶς – οἰκιᾶν, nicht einmal Schutzverwandte hatten das Recht des Grundeigen-

πόθοδον ποτὶ τὰν βωλὰν, καὶ τὸν δᾶμον, πράτοις μετὰ τὰ ἱερὰ, καὶ τοῖς κατοικεῖν ἐθέλουσιν τὰν πόλιν, ἀλειτουργήτοις ἦμεν πασᾶν προστακτᾶν λειτουργιᾶν· στᾶσαι δὲ καὶ εἰκόνας τρεῖς ἑκκαιδεκαπή- 4.
χεις ἐν τῷ Βοσπορίχῳ, στεφανούμενον τὸν δᾶμον τῶν Ἀθηναίων ὑπὸ τῶ δάμω τῶν Βυζαντίων καὶ Περινθίων. ἀποςεῖλαι δὲ καὶ θεωρίας ἐς τὰς ἐν τᾷ 5.
Ἑλλάδι πανηγύριας, Ἴσθμια, καὶ Νέμεα καὶ Ὀλύμπια καὶ Πύθια, καὶ ἀνακαρύξαι τὼς στεφάνως, ὡς ἐςεφάνωται ὁ δᾶμος ὁ Ἀθηναίων ὑφ᾽ ἡμῶν, ὅπως ἐπιστέωνται οἱ Ἕλλανες πάντες Ἀθηναίων ἀρετὰν, καὶ τὰν Βυζαντίων καὶ Περινθίων εὐχαριςίαν.

thums. — πόθοδον ποτὶ oben No. 6. §. 1. — πράτοις (§. 2, 2.). Der Dativ hängt von dem vorhergehenden δόμεν ab und muß durch das folgende ἦμεν ergänzt werden; Buttm. gr. Gr. §. 129, 2. μετὰ τ. ἱερὰ den ersten Zutritt (vor allen andern Völkern) zur Versammlung der Byzantier. Vor jeder Senatsversammlung, oder Berathung wurde ein Opfer verrichtet. — ἀλειτουργήτοις ἦμ. - προςτακτᾶν, frey von außerordentlichen Abgaben. Die jährlichen gesetzmäßigen Leistungen (λειτουργίαι ῥηταί, oder κύριαι) konnten keinem, der das Bürgerrecht hatte, erlassen werden. — §. 4. Βοσπορίχῳ §. 24, 1. —

§. 5. θεωρίας feyerliche Gesandtschaften zu den hellenischen Festen, oder an andere heilige Orte, um diese durch glänzende Opfer, oder durch ihre bloße Anwesenheit zu weihen. Sie waren mit großem Aufwande verbunden; vorzüglich zeichnete sich in dieser Hinsicht die Theorie der Athenäer nach Delos aus. Xenoph. Mem. III, 3, 12. — ὡς ἐςεφάνωται Buttm. gr. Gr. §. 118, 2. §. 121, 6. — ὅπως ἐπιςέωνται §. 34, B, 2.

No. 8. Beschluß der Lakedämonier bey der Einnahme von Athen durch Lysander.

§. 1. Ἤδη δὲ καὶ τοὺς ἐν ἄϛει (Ἀθήναις) κακῶς ἔχειν ὑπὸ λιμοῦ πυνθανόμενος, (Λύσανδρος) κατέπλευσεν εἰς τὸν Πειραιᾶ· καὶ παρεϛήσατο τὴν πόλιν, ἀναγκασθεῖσαν, ἐφ' οἷς ἐκεῖνος ἐκέλευε, ποιήσασθαι τὰς
2. διαλύσεις. Καίτοι Λακεδαιμονίων ἐϛὶν ἀκοῦσαι λεγόντων, ὡς Λύσανδρος μὲν ἔγραψε τοῖς ἐφόροις τάδε. „Ἁλώκαντι ταὶ Ἀθᾶναι." Λυσάνδρῳ δ' ἀντέγραψαν οἱ ἔφοροι·

„Ἀρκεῖ τόγα ἑαλώκειν."

3. Ἀλλ' εὐπρεπείας χάριν οὗτος ὁ λόγος πέπλασται. Τὸ δ' ἀληθινὸν δόγμα τῶν ἐφόρων οὕτως εἶχε·

„Τάδε τὰ τέλη τῶν Λακεδαιμονίων ἔγνω· Καββαλόντες τὸν Πειραιᾶ καὶ τὰ μακρὰ σκέλη, καὶ ἐκβάντες ἐκ πασῶν τῶν πολέων τὰν αὑτῶν γᾶν ἔχοντες· ταῦτά κα δρῶντες τὰν εἰράναν ἔχοιτε, ἅ χρὴ δόντες, καὶ τοὺς φυγάδας ἀνέντες. Περὶ δὲ τᾶν ναῶν τῶ πλήθεος, ὁκοῖόν τί κα τήνοις δοκέῃ, ταῦτα ποιέετε."

No. 8. Plut. vit. Lysand. XIV. p. 441. — Nach dem Siege bey Aegospotamoi Ol. 93, 4, 405 v. Ch. belagert Lysander Athen von der Wasserseite. —

§. 1. Πειραιᾶ §. 72, B, 3, d. —
§. 2. ἐϛὶν i. e. ἔξεϛιν. — ἁλώκαντι, oben No. 6, 3. — Ἀθᾶναι, richtiger lakedäm. Ἀσᾶναι II, 1, 1-5. — ἑαλώκειν §. 32, 4. — τό γα richtiger für das gewöhnliche γε §. 38. A, 1. so §. 3. κα. —
§. 3. ἔγνω i. e. ἔδοξε τοῖς τελ. — καββαλόντες §. 38, B, 2. — σκέλη i. e. τείχη, die beyden Mauern, die von den Häfen Phalereus und Piräeus nach der Stadt zuführten und so zwey Schenkel bildeten. — πασῶν πολέων eingenommene, oder fremde. — τὰν αὑτῶν γᾶν ἐχ. also alle Ansprüche auf auswärtige Besitzungen aufgeben. — κά siehe vorher No. 6, 7. — τοὺς φυγάδας, die vertriebenen Aristokraten. — τᾶν ναῶν §. 21, 7. — τῶ πλήθεος, vorher No. 6, 4. — ὁκοῖον §. 13, A, b, 1. — τί κα τήνοις (§. 30, 2.) Die wahrscheinliche Lesart

B. Jüngerer Dorismus in Unteritalien.

No. 9. Briefe.

a. Χείλων Περιάνδρῳ.

Ἐπιςέλλεις ἐμὶν ἐκςρατείαν ἐπὶ ἐκδάμως, ὡς αὐτὸς καὶ ἐξέρποις. ἐγὼν δὲ δοκέω καὶ τὰ οἰκεῖα σφαλερὰ ἦμεν ἀνδρὶ μονάρχῳ, καὶ τῆνον τυράννων εὐδαιμονίζω, ὅς τις καὶ οἴκοι ἐξ αὐτὸς αὐτῶ κατθάνῃ.

b. Περίανδρος Προκλεῖ.

Ἁμῖν μὲν ἀκούσιον τᾶς δάμαρτος τὸ ἄγος· τὺ δὲ ἑκὼν τῷ παιδὶ ἦν ἀπὸ θυμοῦ ποιήσαις, ἀδικεῖς. ἢ

aus dem gewöhnlichen κατῆνι; andere καὶ τοῖς τηνεί nehml. die im Lager um Athen sind: noch andere καὶ τηνεί oder κατηνεί. — δοκέῃ (al. δοκέοι): die Athenäer mußten alle Schiffe bis auf zwölf ausliefern.

Die Aechtheit dieser Briefe, wie der folgenden Fragmente ist bey weitem nicht über jeden Zweifel erhaben; indeß geben sie doch bey dem gänzlichen Mangel bewährterer Ueberreste einige Proben von dem, was noch jüngere Griechen als dorisch nach Unteritalien versetzten und bestätigen bey ihrer Verdorbenheit wenigstens die allgemeinsten Dorismen.

No. 9. Diog. Laert. I, 73. — Chilon, einer der sieben Weisen aus Sparta, βραχυλόγος: ἐγγύα, πάρα δ' ἄτα. — Periander, Tyrann von Korinth: μελέτη τὸ πᾶν. siehe unten b. — ἐμίν §. 28. A. — ἐκςρατείαν (Casaub.), gewöhnlich ἀςρατείαν, vielleicht auch τὰν ςρατ. — Für ὡς αὐτὸς καὶ liest Casaub. καὶ ὡς αὐτός — ἐγών §. 28, A. Anm. 1. ἦμεν II. No. 6, 3. 11. τῆνον s. vorh. No. 8. §. 3. — αὐτῶ nach dem Dorism. §. 19, 2, für αὐτοῦ hergestellt.

b. Diog. Laert. I, 100. — Periander von Korinth, des Kypselos Sohn, (vergl Orakel 3. tödtete seine von ihm sehr geliebte Gattin Melissa, des Prokles Tochter und entfernte seinen Sohn Lykophron, der den Tod der Mutter unaufhörlich betrauerte, nach Corcyra. Prokles aber erzürnt, unterließ nicht, das Gemüth des Sohnes gegen den Vater immer mehr zu empören. Und als Periander den Lykophron wieder nach Korinth zurückrufen wollte, um ihm die Herrschaft zu übergeben, weigerte sich dieser stand-

ὦν παῦσον τὰν ἀπηνίαν τῶ παιδὸς, ἢ ἐγώ τοι ἀμυνοῦμαι. καὶ γὰρ δὴ καὶ αὐτὸς ποινὰς ἔτισα τήν τε θυγατρὶ κατακαύσας αὐτᾷ καὶ τὰ πασᾶν Κορινθιᾶν εἵματα.

c. Περίανδρος τοῖς Σοφοῖς.

Πολλὰ χάρις τῶ Πυθοῖ Ἀπόλλωνι, ὅτ' εἰς ἓν ἐλθόντας αὐτεῖ, ἀξοῦντι καὶ ἐς Κόρινθον ταὶ ἐμαὶ ἐπιςολαί. ἐγὼν δὲ ὑμᾶς ἀποδέχομαι, ὡς ἴσετε αὐτοὶ, ὅτι δαμοτικώτατα. πεύθομαι ὡς πέρυτι ἐγένετο ὑμῶν ἁλία παρὰ τὸν Λυδὸν ἐς Σάρδεις. ἤδη ὦν μὴ ὀκνεῖτε καὶ παρ' ἐμὲ φοιτῆν τὸν Κορίνθου τύραννον. ὑμᾶς γὰρ καὶ ἄσμενοι ὄψονται Κορίνθιοι φοιτεῦντας εἰς οἶκον τὸν Περιάνδρου.

d. Κλεόβουλος Σόλωνι.

Πολλοί μέν τιν εἰσὶν ἑταῖροι καὶ οἶκος παντῆ. φαμὶ δ' ἐγών ποτε ἀνανιωτάταν ἐσεῖσθαι Σόλωνι τὰν

haft. Periander erkannte in dieser Abneigung Prokles Werk und schrieb daher folgenden Brief an ihn — vergl. Herod. III, 50–53. — ἀπὸ θυμοῦ i. e. ἀποθύμιον ποιεῖν i. q. διαβάλλειν· Il. XIV, 261. — ποιήσαις: einer Verbesserung bedarf der Opt. nach ἦν. Köne liest für ἦν, μέ und ποιήσαις nach §. 34, F. 4. — ἀμυνοῦμαί τοι §. 28, A. was wirklich durch einen Krieg geschah, wo Prokles gefangen wurde Herod. III, 52 zu Ende. — κατακαύσας — εἵματα Herod. V, 92, 7. Casaub. κατακαύσαις, wie vorher ποιήσαις. — τήν τε θυγατρί. Köne: τὶν (§. 28. A. unter σύ. vergl. unten d. und f.) τᾷ θυγ., wie οἱ πατρί (Herod.), *sibi patri* (Plautus). al. τεᾷ θυγ. und τῇ τε. —

c. Diog. Laert. 1, 99. — Periander ladet die sieben Weisen, die oft in Delphi zusammen kamen, zu sich nach Korinth ein und verspricht ihnen freundliche Aufnahme. Plut. Solon, 4. — Πυθοῖ αὐτεῖ §. 38, A, 3. 4. — ἀξοῦντι §. 33. A, 5. — ἴσετε, richtiger ἴσατε §. 37. III. — πέρυτι §. 13. B, c, 3, d. — τὸν Λυδόν, wahrscheinlich Alyattes, da Krösus bey Perianders Tode erst ohngefähr 9 Jahre alt war. — φοιτῆν, φοιτεῦντας §. 34, E, 1, d und A, 7.

d. Diog. Laert. 1, 93. nach Casaubonus Verbesserung. — Kleobulos von Lindos auf Rhodos, Euagoras Sohn, einer der sieben Weisen: μέτρον ἄριςον. — τίν §. 28.

Αἵνδον δαμοκρατεομέναν. καὶ ἁ νᾶσος πελαγία, ἔνθα οἰκέοντι οὐδὲν δεινὸν ἐκ Πεισιστράτου· καὶ τοὶ ἑταῖροι δὲ ἑκαστόθεν πὰρ τοὶ βασοῦνται.

e. Ἐπιμενίδης Σόλωνι.

Θάῤῥει, ὦ ἑταῖρε, αἰ γὰρ ἔτι θητεύουσιν Ἀθηναίοις καὶ μὴ εὐνομημένοις ἐπεθήκατο Πεισίστρατος, εἶχε καὶ τὰν ἀρχὰν ἀεὶ, ἀνδραποδιξάμενος τὼς πολιήτας· νῦν δὲ οὐ κακὼς ἄνδρας δουλῶται· τοὶ μεμναμένοι τᾶς Σόλωνος μανύσιος ἀλγέοντι πέδα αἰσχύνας, οὐδὲ ἀνέξονται τυραννούμενοι. ἀλλ' αἴκε Πεισίστρατος κατασχεθῇ τὰν πόλιν, οὐ μὰν ἐς παῖδας τήνω ἔλπομαι τὸ κράτος ἵξεσθαι. δυσμάχανον γὰρ, ἀνθρώπως ἐλευθεριάξαντας ἐν τεθμοῖς ἀρίσοις, δούλως ἦμεν. τὺ δὲ μὴ ἀλᾶσθαι, ἀλλ' ἕρπε ἐς Κρήτην ποθ' ἄμμε. ταυτᾶ γὰρ οὐκ ἐσεῖταί τοι δεινὸς ὁ μόναρχος· αἴ δέ πη πλατείῃ ἐγκύρσωντί τοι τήνω τοὶ φίλοι, δειμαίνω μή τι δεινὸν πάθῃς.

παντῆ, l. παντᾶ §. 39. II, c, 3. — ποτὲ ἀνανιωτάταν. die gewöhnliche Lesart ist ποτνιωτάταν — eine andere Vermuthung ποθεινοτάταν; Köne will ποτανεστάταν für προσηνεστάτην. — ἐσεῖσθαι, βασοῦνται siehe vorh. c. 3. 2. — für πὰρ τοὶ richtiger πάρ τύ. — νᾶσος πελαγία, die weit vom Ufer in der hohen See liegt.

e. Diog. Laert. I, 113. — Epimenides aus Knossos auf Kreta, ein Zeitgenosse der sieben Weisen, mehr durch seine wunderbaren Schicksale und geheimen Künste, als durch seine Weisheit gleich diesen berühmt. — θητεύουσιν, andere Lesart θητευόντεσιν. — ἀνδραποδιξάμενος — ἐλευθεριάξαντας §. 33, A, 3. — πολιήτας auch ionische Nebenform. — δουλῶται Buttm. gr. Gr. §. 122, 7. — μανύσιος §. 21, 3. — πέδα s. ob. II, 3, 1. — ἀλγέοντι. ἐγκύρσωντι II. No. 6, §. 3. — ἀνέξονται τυραν. Matthiä gr. Gr. §. 549. — τήνω oben No. 8, 3. No. 9. a. — δούλως oben No. 7. §. 3. ἦμεν No. 6. 3. 6. — μὴ ἀλᾶσθαι Buttm. gr. Gr. §. 129, 4. 4. — ποθ' ἄμμε §. 38, B, 1. ἄμμε §. 28. A. soll sich auch bey Sophron finden. — ἐσεῖται s. vorh. unter d. — πή §. 38, A, 3. §. 66, A, 3. — πλατείῃ i. e. ἠπείρῳ, Casaub. πλατείης. Weil sich nicht die dorische Endung πλατεία findet, vermuthen Einige: πλανηθῇς καὶ ἐγκ. ꝛc. Den Conjunctiv in solcher Verbindung siehe oben No. 6. 9. — ἐγκύρσωντι §. 33. A, 2. —

f. Ἀρχύτας Διονυσίῳ ὑγιαίνειν.

Ἀπεςάλκαμες πάντες οἱ Πλάτωνος φίλοι τὼς περὶ Λαμίσκον τε καὶ Φωτίδαν, ἀπολαμψόμενοι τὸν ἄνδρα καττὰν παρὰ τὶν γενομέναν ὁμολογίαν· ὀρθῶς δὲ καὶ ποιεῖς, μιμνασκόμενος τήνας τᾶς σπουδᾶς, ἡνίκα πάντας ἄμμε παρεκάλεις ποττὰν Πλάτωνος ἄφιξιν, ἀξιῶν προτρέπεσθαί τε αὐτὸν καὶ ἀναδέχεσθαι τά τε ἄλλα καὶ τὰ περὶ τὴν ἀσφάλειαν, μένοντί τε καὶ ἀφορμιῶντι. μέμνασο δὲ καὶ τῆνο, ὅτι περὶ πολλῶ ἐποιήσω τὰν ἄφιξιν αὐτῶ. καὶ ἀγάπας ἐκ τήνω τῶ χρόνω, ὡς οὐδένα τῶν παρὰ τίν. αἰ δέ τις γέγονε τραχύτας, ἀνθρωπίζειν χρὴ, κἀποδιδόμεν ἁμῖν ἀβλαβῆ τὸν ἄνδρα. ταῦτα γὰρ ποιῶν, δίκαια πράξεις, καὶ ἁμῖν χαριῇ.

g. Ἀρχύτας Πλάτωνι ὑγιαίνειν.

Καλῶς ποιεῖς, ὅτι ἀποπέφευγας ἐκ τᾶς ἀῤῥωστίας· ταῦτα γὰρ αὐτός τε ἀπέςαλκας καὶ τοὶ περὶ Δαμησκὸν ἀπάγγελον· περὶ δὲ τῶν ὑπομνημάτων

f. Diog. Laert. III, 22. — Plato reiste nach Sicilien zu Dionysios dem jüngern, um dort seine Staatsverfassung einzuführen, kam aber in Verdacht, den Dion und Theotas zur Befreyung der Insel gereizt zu haben. Der Pythagoreer Archytas von Tarent, ein edler Mann, sucht hier seinen Freund und frühern Schüler Plato beym Dionysios von jenem Verdachte zu reinigen. — τὼς περὶ Λαμ. Buttm. gr. Gr. pag. 585. — ἀπολαμψόμενοι, wie bey den Joniern §. 41, C, 2. — καττὰν - ποττὰν siehe oben No. 5, 1. — παρὰ τίν oben b zu Ende, siehe weiter unten. — ποιεῖς, der feinere attische Sprachgebrauch fordert hier den Optativ. — ἀφορμιῶντι §. 5, 2. — περὶ πολλῶ ἐποιήσω τ. ἄφιξιν, Ael. var. hist. IV, 18. ὅτε κατῆλθεν Πλάτων ἐν Σικελίᾳ κλητὸς, πολλὰ ἐπὶ πολλοῖς ἐπιςείλαντος τοῦ Διονυσίου, καὶ ἀνήγαγεν αὐτὸν ἐπὶ τὸ ἅρμα ὁ νέος Διονύσιος, αὐτὸς μὲν ἡνιοχῶν, παραιβάτην δὲ ποιησάμενος τὸν Ἀρίςωνος. — παρὰ τίν, eine andere Lesart ist πὰρ τίν, dor. §. 38. B, 2. b.; wahrscheinlich muß es auch zu Anfange des Briefs so heißen. Vergl. ob. d., πὰρ τοί. — κἀποδιδόμεν oben No. 6. §. 4. ἁμῖν §. 28. A. χαριῇ §. 60. A, 2. —

g. Diog. Laert. VIII, 80. — Derselbe Archytas an Plato. — τοὶ περὶ Δαμ. siehe f. zu Anfange. — ἀπάγγελον §. 32.

ἐπεμελήθημες, καὶ ἀνήλθομες ὡς Λευκανὼς, καὶ ἐνετύχομες τοῖς Ὀκέλλω ἐκγόνοις. τὰ μὲν ὦν περὶ νόμω, καὶ βασιληΐας καὶ ὁσιότατος, καὶ τᾶς τῶ παντὸς γενέσιος, αὐτοί τε ἔχομες, καί τινα ἀπεςάλκαμες· τὰ δὲ λοιπὰ οὔτοι νῦν γε δύναται εὑρεθῆμεν. αἰ δέ κα εὑρεθῇ, ἥξει τοι.

No. 10. Aus den Fragmenten der Pythagoreer.

a. Ἐκ τῶν Ἀρχύτου τοῦ Πυθαγορείου ἐν τῷ περὶ τᾶς ἠθικᾶς παιδείας.

Φημὶ τὰν ἀρετὰν ἦμεν ποττὸ μὴ κακοδαιμονεῖν ἱκανὰν, τὰν δὲ κακίαν ποττὸ μὴ εὐδαιμονεῖν, αἴ κα τὰς ἕξιας αὐτὰς κρίνομες. Αἰεὶ μὲν γὰρ κακοδαιμονεῖν ἀνάγκα τὸν κακὸν, αἴ τε ἔχῃ ὕλαν, κακῶς τε γὰρ αὐτᾷ χρέεται· αἴ τε σπανίζοι. ὡς γὰρ τὸν τυφλὸν, αἴ τε φῶς ἔχει καὶ λαμπρότητα ὁρατὰν, αἴ τε ἐν σκότει διατελεῖ. Οὐκ αἰεὶ δὲ εὐδαιμονεῖν τὸν ἀγαθόν. οὐ γὰρ ἁ κτῆσις τᾶς ἀρετᾶς εὐδαιμονία §. 1. 2.

B, 3. — τοῖς Ὀκέλλω, Okellos aus Lukanien, angeblich ein unmittelbarer Schüler des Pythagoras. Seine Schrift περὶ τᾶς τῶ παντὸς γενέσιος besitzen wir noch im attischen Dialect unter dem Titel: περὶ τῆς τοῦ παντὸς φύσεως; wahrscheinlich aber nicht die ächte. — βασιληΐας §. 10. 2. ὁσιότατος, wie oben f. τραχύτας, No. 5, 1. καινότατος §. 2, e. — γενέσιος wie oben e. μανύσιος. — καί τινα ἀπεςαλ. sinnvoller mit Köne καὶ τὶν ἀπ. wie oben f. zu Anfange.

No. 10. Diog. Laert. ed. Paul. Stephan. 1616. p. 851—853.

§. 1. φημί, ohne Zweifel φαμί wie unten §. 3. — ἦμεν, herrscht durchgängig bey den jüngern Doriern. — χρέεται, eine sonst nur ionische Form §. 63, 4. — αἴ τε ἔχῃ — σπανίζοι zu bemerken ist der Wechsel der Modi in derselben Verbindung Matth. Gr. §. 525, b., gewöhnlicher ist der folgende Indicativ. — τὸν τυφλὸν sc. ἀνάγκα τυφλὸν εἶναι. — λαμπρότητα, wohl auch, wie vorher unter g. ὁσιότατος. —

§. 2. κτῆσις, wahrscheinlich κτᾶσις, wie χρᾶσις, denn in

ἦν, ἀλλὰ χρᾶσις· καὶ γὰρ ὁ ἔχων τὴν ὄψιν, οὐχ
3. ὁρᾷ αἰεί· αἱ γὰρ μὴ ἔχοι φῶς, οὐκ ὄψεται. Δύο δ' ὁδοί τέμνονται ἐν βίῳ, ἁ μὲν σκυθρωποτέρα, ἂν ὁ τλάμων ἐβάδιζεν Ὀδυσσεὺς, ἁ δὲ εὐδιεινοτέρα, τὰν
4. ἐπορεύετο Νέςωρ. Τὰν ὦν ἀρετὰν φαμὶ δηλῆσθαι μὲν ταύταν, δύνασθαι δὲ καὶ τήναν. Ἀλλὰ τὰν εὐδαιμονίαν καρύσσει ἁ φύσις βίον εὐκταῖον καὶ εὐςαθέα, διὰ τὸ γνώμας τελεθῆναι. ὥςε ἃ μὴ δηλῆταί τις παριόντας, οὐκ εὐδαίμων μὲν, οὐ μὰν πάντως κακοδαί-
5. μων. Μὴ ὦν ἄνοσον καὶ ἀνάλγητον τολμώντων τὸν ἀγαθὸν εἰπεῖν, μηδὲ ἄλυπον θρασυνέσθωσαν λέγεν. ὡς γὰρ σώματι ἀλγεινά τινα ἀπολείπομεν, οὕτω καὶ ψυχαῖς ἐπώδυνα. ἀλλ' αἱ μὲν ἀφρόνων λῦπαι ἀλόγιςοι πέλονται· αἱ δὲ φρονίμων, ἐς ὅσον ὁ λόγος ἐπιτρέπει
6. ὁρίσδων τὰ πράγματα. Ἀλλὰ μὰν καὶ τὸ καύχαμα αὐτῶν τὰς ἀπαθείας ἐκλύει τᾶς ἀρετᾶς τὸ γενναῖον, αἴκα ἐν διαφόροις καὶ μὴ κακοῖς θανάτῳ τε καὶ ἀλγηδόνι καὶ φενίᾳ ἀντιβεβάκῃ. Εὐκαταγώνι-
7. ςα γὰρ τὰ μὴ κακά. Ἀσκητέον ὦν ποττὰν μετριοπαθίαν ἵεμεν, ὡς τότε ἀνάλγητον εἰς ἶσον τῷ ἐκπαθεῖ φεύγομες, μήτε μέζον φύσιος τᾶς ἁμετέρας φθεγγόμεθα.

beyden Wörtern kommt das dor. α gleich selten vor §. 2, 1. a. S. unt. d, §. 1. — αἴ - ἔχοι Matth. gr. Gr. §. 524, 3.
§. 3. ἄν. wahrscheinlich τὰν wie gleich darauf, nach dem gewöhnlichen Dorismus. — δηλῆσθαι (§. 4. δηλῆται) ein dorisches Wort i. q. βούλεσθαι, gewöhnlicher δήλεσθαι, δηλέεσθαι; δηλεῖσθαι, nocere, der gewöhnl. Sprache ist jedoch zu unterscheiden, dor. δαλεῖσθαι. Vergl. über die Form δηλῆσθαι §. 34, A, 2. —
§. 4. δηλῆταί τις παριόντας, ohne Zweifel παριόντα.
§. 5. τολμώντων §. 34, D, 3. — λέγεν §. 34, E, 1, c. Diese Form ist durchherrschend, vergl. No. c. φέρεν, ἔχεν rc. — ὁρίσδων §. 12, 1.
§. 6. φενίᾳ i. e. πενίᾳ §. 13, B, 6, 3.
§. 7. μετριοπαθίαν, die Dorier liebten in dieser Femininform mehr den Ausgang ια für εια, vorzüglich in den Proparoxytonis; daher wird auch §. 6. ἀπαθίας richtiger seyn, von ἀπάθεια und oben No. 9, b. ἀπηνίαν f. ἀπήνειαν vergl. oben No. 3. Anm. 3. — ὡς τότε αναλγ. vielleicht ὥςε τὸ ἀνάλγητον rc. — μέζον §. 54, 4, c. gewöhnlich ionisch. — φύσιος, wie oben No. 9, g. γενέσιος.

b. Ἐκ τῶν τοῦ αὐτοῦ Ἀρχύτου, ἐν τῷ περὶ ἀγαθοῦ ἀνδρὸς καὶ εὐδαίμονος.

Φαμὶ δὴ τὸν ἀγαθὸν ἄνδρα τοῦτον ἦμεν τοῖς πράγμασι μεγάλοις καὶ καιροῖς καλῶς χρεόμενον. οὗτος δέ κε εἴη ὁ εὐτυχίαν τε δυνάμενος καλῶς φέρεν καὶ πάλιν ἀτυχίαν. καὶ ὁ ἔν τε τοῖς καλοῖς καὶ τιμίοις ἄξιος γενόμενος τῶν ὑποκειμένων καὶ μεταβαλοίσας τᾶς τύχας εὖ τὸ παρὸν ἐκδεχόμενος. εἰ δὲ συντόμως τε καὶ κεφαλαιωδῶς δεῖ φρᾶσαι, ὁ ἐν πάντεσσι τοῖς καιροῖς καλῶς ἀγωνιζόμενος ἐκ τῶν ἐνδεχομένων. καὶ μὴ μόνον αὖ ἑαυτὸν οὕτως διατιθεὶς, ἀλλὰ καὶ τοὺς ἐπιςεύσαντας αὐτῷ καὶ συναγωνισαμένους.

c. Ein Fragment des Pythagoreers Diotogenes. (Stobäos I. 64.)

Δεῖ τὸν βασιλέα μὴ νενικῆσθαι ὑφ' ἁδονᾶς, ἀλλ' §. 1.
αὐτὸν νικᾶν ταύταν· μηδ' ὅμοιον ἦμεν τοῖς πολλοῖς ἀλλ' ἐπὶ πολλὸν διαφέροντα τούτων· μηδ' ἔργον αὑτοῦ ἁγεῖσθαι τὰν ἁδονὰν, ἀλλὰ μᾶλλον τὰν ἀνδραγαθίαν, ἅμα δὲ καὶ πρέπεν τὸν ἑτέρων ἄρχεν χρήζοντα τῶν ἐν ἑαυτῷ παθέων πρᾶτον δύνασθαι ἄρχεν. Περί γε μὰν τᾶς πλεονεκτικᾶς ὅδε ὁ λόγος· δεῖ γὰρ ἐς τοῦτο πεπᾶσθαι τὰ χρήματα, ὥςε φίλως εὐεργετεῖν, καὶ δεομένως ὑπολαμβάνεν, καὶ ἐχθρὼς δὲ μετὰ δίκας ἀμύνασθαι. Ἁδίςα γὰρ ἁ μετ' ἀρετᾶς ἀπόλαυσις τᾶς εὐτυχίας. Ὁ δ' αὐτὸς τρόπος καὶ περὶ τὰς ὑπεροχᾶς. Ἀεὶ γὰρ ὁ καθυπερέχων τὼς ἄλλως 2.
ἀρετᾷ καὶ κατт' αὐτὰν ἄξιον κρίνεσθαι τὸ ἄρχεν,

— μεταβαλοίσας §. 34. F, 1, a. wie unten C. No. 3, 1. vorzüglich häufig bey Theokrit und Pindar. — πάντεσσι §. 20, 7. Es scheinen auch der dor. Prosa die Formen mit σσ nicht fremd gewesen zu seyn, je nachdem sie der Wohlklang erforderte. ἐκ τῶν ἐνδεχομένων i. e. οἷον δεῖ, οἷον ἐνδέχεται ἀγωνίζεσθαι. Xen. Mem. 3, 9, 4. —
c. §. 1. πλεονεκτικᾶς sc. τέχνης.
§. 2. καὶ κατт' αὐτὰν ἄξιον κρίνεσθαι τὸ ἄρχεν erfordert τῷ hinter καὶ (τῷ — κρίνεσθαι) und κατ' αὐτάν.

ἀλλὰ μὴ καττὸν πλοῦτον ἢ τὰν δύναμιν ἢ τὰν ῥώμαν τὰν τῶν ὅπλων· ὃ μὲν γάρ τὶ κοινὸν ἐντὶ καὶ τῶν τυχόντων, ὃ δὲ κοινὸν καὶ τῶν ἀλόγων ζώων, ὃ δὲ κοινὸν καὶ τῶν τυράννων, ὃ δὲ μόνον ἴδιον τῶν ἀγαθῶν ἀνθρώπων. Ὥςε ὅστις βασιλεὺς σώφρων μὲν ἐντὶ περὶ τὰς ἡδονὰς, κοινωνικὸς δὲ περὶ τὰ χρήματα, φρόνιμος δὲ καὶ δεινὸς περὶ τὰν ἀρχὰν, οὗτος κ' εἴη καττὰν ἀλάθειαν βασιλεύς.

d. Ein Fragment des Pythagoreers Sthenidas.

(Aus demselben Buche.)

§. 1. Χρὴ τὸν βασιλέα σοφὸν ἦμεν· οὕτω γὰρ ἐσεῖται ἀντίτιμος καὶ ζηλωτὰς τῷ πράτῳ θεῷ. Οὗτος γὰρ φύσει ἐντὶ καὶ πρᾶτος βασιλεύς τε καὶ δυνάςας· ὃ δὲ γενέσει καὶ μιμάσει· καὶ ὃ μὲν ἐν τῷ παντὶ καὶ ὅλῳ, ὃ δὲ ἐπὶ γᾶς· καὶ ὃ μὲν ἀεὶ τὰ πάντα διοικεῖ τε καὶ ζώει, αὐτὸς ἐν αὑτῷ κεκταμένος τὰν σοφίαν,
2. ὃ δ' ἐν χρόνῳ, ἐπιςάμαν. Ἄριςα δὲ καὶ μιμέοιτο τοῦτον, εἰ μεγαλόφρονά τε καὶ σοφὸν καὶ ὀλιγοδέεα παρασκευάζοι αὑτὸν, πατρικὰν διάθεσιν ἐνδεικνύμενος τοῖς ὑφ' αὑτῷ. Διὰ τοῦτο γάρ που μάλιςα νενόμισται τὸν θεὸν πατέρα μὲν θεῶν πρᾶτον, πατέρα δὲ ἀνθρώπων ἦμεν, ὅτι ἤπιος πρὸς πάντα τὰ ὑπ' αὑτῷ γενόμενα ἐντὶ καὶ ἀμελούμενος τὰς προςασίας οὐδέποκα παύεται οὐδὲ ἤρκεςαι τῷ ποιητὰς μόνον γεγονέναι ἀλλὰ καὶ τροφεὺς, διδάσκαλός τε τῶν καλῶν πάντων καὶ νομοθέτας πέφυκε πᾶσιν ἐπίσας.

— ἐντί §. 37, II.
d. §. 1. ζώει, hier in der Bedeutung von ζωοῖ, sonst nur dichterisch für ζῇ §. 63, 5. a. — οὐδέποκα §. 38, A, 1.

C. Pindarisch-Dorischer Dialect.

No. 1. *Ψαύμιδι Καμαριναίῳ ἵπποις.*

Strophen.



Pindars Dialect ist nach Greg. Corinthius der gemeine (*κοινή*) d. h. aus den verschiedenen ältern Dialecten gemischte. Dieß ist um so erklärbarer, da die lyrische Poesie sich aus der epischen allmählig entwickelte. Der Grundton des Pindarischen Dialects ist daher im Ganzen der epische, nimmt aber, je nachdem bald die ernste dorische, oder äolische Gesangsweise hervortritt, vorzüglich die kräftigern Farben des Altdorischen und zuweilen des Aeolischen an. Von den dorischen Eigenthümlichkeiten theilt Pindar einige mit Theokrit:

1. *ἔγωνγα*, *τύ*, Dat. *τίν*; aber Dat. *ἴν* blos Pindar. Ac. *νίν* und *μίν*; aber *τύ* und *τέ* für *σέ* und *ψέ* für *σφέ* oder *αὐτάς* Theokr.
2. In den Verbis *ξ* f. *σ* in den Fut. v. Verb. auf *ζω*. Das circumflectirte Fut. (*πεμψῶ* ꝛc.) ist jedoch nur dem Theokr. eigen. — Bey Verb. auf *μι* 3. P. Sing. *τι* f. *σι* (Pindar nur in *ἐφίητι*), 3. P. Pl. *ντι*. Aber 3. P. pl. auf *οισι* (*οντσι*) f. *ουσι* ist bey Pindar weit häufiger und zwar meist nach dem Wohlklang mit *ντι* wechselnd; daher besonders:

Epode.

– –́ ⏑⏑ – ⏑ – ⏓
–́ ⏑⏑ – ⏑ – ⏒
⏑ –́ ⏑ – ⏑ – ⏑ –
– –́ ⏑⏑ – ⏑⏑ – –́ ⏑ ⏓
⏑ –́ ⏑ –́ ⏑⏑ – –́ ⏑ – ⏑ ⏑⁀⏑ ⏑ –
–́ ⏑⏑ – ⏑⏑ – ⏑

a. wenn die Sylbe οντ oder eine ähnliche wiederkehrt: ςάζοισι θ ή σ ο ν τ α ί τε.

b. immer, wo das ν paragogicum eintreten muß: φιλέοισιν. Die Formen auf ουσι sind jetzt gänzlich getilgt und nur einige auf εουσι noch erhalten.

So ist auch beyden gleich die Form οισα in dem Particip. fem. auf (οντσα) ουσα und im Aor. I. act. αις und αισα aus αντς – αντσα; letzteres aber nicht im Aor. II, sondern ςάς rc. und auch nicht bey Theokr.

Pindar theilt nicht mit Theokrit:

1. den dor. Gen. auf ω f. ου u. den Acc. pl. auf ως f. ους; eben so unsicher scheint dann auch der verkürzte Acc. auf ος bey Pindar zu seyn.
2. Die Infinitive auf εν, die die neuere Kritik im Pindar getilgt hat.
3. Die Contraction (bey den Verbis auf άω) αε in η, so wie die Umbildung von αο in εο, contr. ευ: ἠγάπευν aus ἠγάπαον.
4. Einzelne Wortformen sind bey Pindar ἁμᾶ, κρυφᾶ, παντᾶ f. ἅμα, κρύφα, πάντη – ᾱ̆ς als, da, θαμάκις neben θαμά, τουτάκι f. τηνικαῦτα – φὴρ f. θὴρ, ὦν, ὦτε f. ὥςε – Trennung der Diphthonge ει, οι. — σωπᾶσαι f. σιωπᾶσαι ἐν f. εἰς äolisch, ἔπειτεν, πέδα, ἕκατι rc.

Die folgenden Gesänge sindnach Böckh's Ausgabe 1811. gegeben.

No. 1. Ol. IV. — Psaumis, ein edler Bürger der reichen Kamarina in Sicilien, voll vaterländischen Sinnes und uneigennütziger Freygebigkeit, Pindars Gastfreund, hatte bey den Olympischen Spielen im Wagenrennen gesiegt, Ol. 82. — Der Gesang wendet sich vom Zeus, dem Beschützer der Olymp. Spiele, zum Sieger selbst, erhebt seine bewährte Tugend und wünscht ihm ferneres Glück, wie es der Ruhm früherer Helden erheischt.

— ⏑⏑ — ⏑⏑ —

⏑ — — ⏑ — ⏑ — ⏑ — ⏑ —

⏑⏑ — ⏑⏑ — ⏑⏑ ⏑ — ⏑⏑ —

⏑ — ⏑ — ⏑ ⏑

Ἐλατὴρ ὑπέρτατε βροντᾶς ἀκαμαντόποδος Ζεῦ· τεαὶ γὰρ Ὧραι *Στρ.*
ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς ἑλισσόμεναί μ' ἔπεμψαν
ὑψηλοτάτων μάρτυρ' ἀέθλων.
ξείνων δ' εὖ πρασσόντων
ἔσαναν αὐτίκ' ἀγγελίαν
ποτὶ γλυκεῖαν ἐσλοί.
ἀλλ', ὦ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις,
ἶπον ἀνεμόεσσαν ἑκατογκεφάλα Τυφῶνος ὀμβρίμου,
Οὐλυμπιονίκαν δέκευ
Χαρίτων ἕκατι τόνδε κῶμον,

V. 1—2. τεαὶ — ἑλισσόμεναι. Der Tanz der Horen (Eunomia, Dike, Eirene), die vorzüglich zu Korinth verehrt wurden und von da aus auch nach der Korinthischen Kolonie Syrakus, wovon Kamarina abstammte, übergingen. Das Bild deutet auf die Zwischenzeit der Olymp. Spiele. Schol. τῇ „ὑπὸ" ἀντὶ τοῦ μετὰ κέχρηται· — καὶ Ὅμηρος κέχρηται. Vergl. unten No. 2, 6 — V. 4. ξείνων ion. Form §. 41, B, 5. — V. 5. ἔσαναν (ἐχάρησαν) ποτὶ γλ. ἀγγ. ἐσλοί (§. 13. B, c. 2.) i. e. ἱλαρῶς προσδέχονται τὴν ἀγγελίαν ξείνων (φίλων) εὖ πρ. — V. 7. ὃς Αἴτναν ἔχεις: Ζεὺς Αἰτναῖος; man muß sich nach Sicilien, dem Vaterlande des Siegers, denken. — V. 8. Auf den besiegten Typhon, oder Typhoeus (der Erde und des Tartaros Sohn) wurde die Last (ἶπος) des Aetna gewälzt. — ἑκατογκεφάλα §. 18. Pyth. VIII, 21. Τυφὼς Κίλιξ ἑκατόγκρανος — V. 9—10. Οὐλυμπιονίκαν (§. 9. 4.), Ol. III, 3. Θήρωνος Ὀλυμπιονίκαν ὕμνον. — δέκευ ion. Form §. 11. 4. §. 13. B. a. 2. vgl. unten No. 2, 3. No. 3, 15. Χαρίτων ἕκατι (ἕκητι, ἕνεκα); das schöne Bild des Alterthums, Musen und Chariten im Vereine, Ol. IX, 39. siehe unten No. 3, 10 u. 11. No. 5, 2. Nem. V, 125. IV, 12, wo die Dichtkunst κᾶπος καὶ ἄρουρα der Chariten ist.

'Αντ. χρονιώτατον φάος εὐρυσθενέων ἀρετᾶν. Ψαύμιος γὰρ ἵκει
Ὀχέων, ὅς ἐλαίᾳ στεφανωθεὶς Πισάτιδι, κῦδος ὄρσαι
σπεύδει Καμαρίνᾳ. θεὸς εὔφρων
εἴη λοιπαῖς εὐχαῖς·
ἐπεί μιν αἰνέω, μάλα μέν
τροφαῖς ἑτοῖμον ἵππων,
χαίροντά τε ξενίαις πανδόκοις,
καὶ πρὸς Ἁσυχίαν φιλόπολιν καθαρᾷ γνώμᾳ τετραμμένον.
οὐ ψεύδεϊ τέγξω λόγον·
διάπειρά τοι βροτῶν ἔλεγχος.
'Επ. ἅπερ Κλυμένοιο παῖδα
Λαμνιάδων γυναικῶν
ἔλυσεν ἐξ ἀτιμίας.
χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον

B. 11. *χρονιώτατον*, τουτέςιν ἐπὶ πλεῖςον χρόνον διαμένον. — *ψαύμιος* (§. 20, 2.) *ἵκει* (gewöhnlich unrecht ἥκει), siehe I. No. 2, 8. die ältere Homerische Form von ἵκω, woraus ἱκάνω u. ἱκνῶ, nach Eustathius und dem Scholiasten ursprünglich pertinere, pertingere (daher ἱκανός hinreichend,) d. berühren, fassen, wie ἅπτεσθαι, θιγγάνειν, mit dem Gent. κῶμος ὀχέων ἵκει der Festzug berührt, umgibt Psaumis Wagen. Pyth. IX, 9. — B. 12. *Πισάτιδι* Pisa in der Nähe, später Olympia. — *κῦδος ὄρσαι*, das homerische κῦδος ἀρέσθαι. — B. 15. ἐπεί μιν auffallend, da Pindar sonst immer hat ἐπεί νιν §. 30, 1. — B. 16. *ἵππων*, die Rosse vornehmlich für die Festspiele, also zur Verherrlichung seiner Vaterstadt. — B. 17. *ξενίας* (τραπέζαις) *πανδόκοις* (παγκοίνοις, πάντας δεχομέναις). φιλόξενός ἐςι. — B. 19. *τέγξω* i. e. μίξω. Nem. X, 141 τέγγων δάκρυα ςοναχαῖς. — B. 20. Der allgemeine Satz bildet den Uebergang zum folgenden Mythos. — B. 21. *ἅπερ* (διάπειρα) Erginos, Klymenos Sohn, begleitete den Zug der Argonauten und wurde von den Frauen zu Lemnos bey den Kampfspielen wegen seiner greisen Haare als Schwächling verlacht, siegte aber im schwersten Wettlaufe mit voller Rüstung (ὁπλιτοδρόμος B. 24.) und beschämte das vorzeitige Spötteln (ἔλυσεν ἐξ ἀτιμ.).

ἔειπεν Ὑψιπυλείᾳ, μετὰ στέφανον ἰών·
οὗτος ἐγὼ ταχυτᾶτι·
χεῖρες δὲ καὶ ἦτορ ἴσον.
φύονται δὲ καὶ νέοις ἐν ἀνδράσιν
πολιαὶ θαμὰ καὶ παρὰ τὸν ἁλικίας
ἐοικότα χρόνον.

No. 2. Ψαύμιδι Καμαριναίῳ ἀπήνῃ.

Strophen.

x – – ⏑⏑ – – ⏑⏑ – ⏑ – – ⏑ –
x – – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – – ⏑ – ⏑ – ⏑
⏑⏑ – ⏑⏑ – ⏑ – – ⏑ – – ⏑ – ⏑ – ⏑

Epoden.

x – – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – ⏑ – ⏑ – ⏑ – ⏑
x – – ⏑⏑ – ⏑⏑ – ⏑⏑ – – ⏑ – – ⏑ – – ⏑ – ⏑ – ⏑

— V. 25. ἔειπεν §. 59. A. 2. Ὑψιπυλείᾳ, der Königin von Lemnos, von der er nach alter Sitte den Siegeskranz empfangen sollte. — V. 26. οὗτος ἐγώ mit gleichem Nachdruck, wie *ille ego* Tibull. 1, 5, 9. — V. 27. ἴσον muß doppelt gedacht werden, gleich wie χεῖρας δὲ καὶ ἦτορ ἴσος. —

No. 2. Ol. V. Auf einen zweiten Sieg desselben Psaumis im Wettrennen mit einem Maulthiergespann. Der Dichter fleht zur Nymphe (Ὠκεανοῦ θύγατερ) Kamarina (ein See, von dem auch die Stadt ihren Namen hatte), seinen Gesang und Psaumis Siegsgeschenk huldvoll aufzunehmen. — Der Sieger hat seine Vaterstadt und die heimischen Götter, Pallas, die Nymphe und den See Kamarina, die Flüsse Oanos und Hipparis, und seinen Vater Akron verherrlicht. Möge daher Zeus die Stadt ferner mit tapfern Männern beglücken, dem Sieger fröhliche Tage bis ans Ende und im Alter würdige Söhne schenken. — Dies ist des Sterblichen Höchstes; weiter darf sein Wunsch nicht dringen. —

Στρ. ά. Ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄωτον γλυκὺν
τῶν Οὐλυμπίᾳ, Ὠκεανοῦ θύγατερ, καρδίᾳ γελανεῖ
ἀκαμαντόποδός τ᾽ ἀπήνας δέκευ Ψαύμιός τε δῶρα·

Ἀντ. ά. ὅς τὰν σὰν πόλιν αὔξων, Καμάρινα, λαοτρόφον,
βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίςαις,
ὑπὸ βουθυσίαις ἀέθλων τε πεμπταμέροις ἁμίλλαις,

Ἐπ. ά. ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε. τὶν δὲ κῦδος ἁβρὸν
νικάσαις ἀνέθηκε, καὶ ὃν πατέρ᾽ Ἄκρων᾽ ἐκάρυξε καὶ τὰν νέοικον ἕδραν.

— V. 1. Ὑψηλᾶν ἀρετᾶν §. 18. Anm. 1. ἄωτον γλ. ἤτοι καρπόν i. e. ὕμνον· ἔςι δὲ τὸ ἄωτον καὶ τὰ δῶρα (v. 3.) ταὐτόν. vergl. Ol. VIII, 99. φράσαι χειρῶν ἄωτον ἐπίνικον Ol. III, 6. ὕμνον ἄωτον ἵππων. — V. 3. ἀπήνας, ἀπήνη δέ ἐςιν ἅρμα ἐξ ἡμιόνων ζευχθέν. — V. 4. 5 οἱ γὰρ νικῶντες ἔθυον ἐν τοῖς ἓξ βωμοῖς — Ἡρόδωρός φησι, τὸν Ἡρακλέα ἐν Ὀλυμπίᾳ ἱδρύσασθαι δώδεκα θεῶν ἀγάλματα· συμβωμους δὲ αὐτοὺς ποιῆσαι, ἓξ βωμοὺς κατασκευάσας. Ὀλυμπιάδι γὰρ βωμοί εἰσιν ἓξ Δίδυμοι τοῖς δώδεκα θεοῖς ἀνιδρυμένοι· ἑνὸς ἑκάςου βωμοῦ, δύο θεοῖς καθωσιωμένου· πρῶτος Διὸς καὶ Ποσειδῶνος, δεύτερος Ἥρας καὶ Ἀθηνᾶς, τρίτος Ἑρμοῦ καὶ Ἀπόλλωνος, τέταρτος Χαρίτων καὶ Διονύσου, πέμπτος Ἀρτέμιδος καὶ Ἀλφεοῦ, ἕκτος Κρόνου καὶ Ῥέας, ὥς φησιν Ἡρόδωρος. — V. 6. Die Olympischen Spiele begannen am Abend des ersten Festtages mit Opfern (βουθυσίαις) zu Ehren des Zeus und der andern Götter. Mit Sonnenaufgang begannen die fünftägigen Spiele (πεμπτάμεροι ἅμιλλαι (§. 27, 3.) — ἀπὸ ἑνδεκάτης μέχρις ἑκκαιδεκάτης). Am sechsten wurden die Preise vertheilt. — V. 7. ἵπποις, der Wagen mit Rossen bespannt, wie unser Gespann, für ἅρμα; so oft bey Homer. ἡμιόνοις i. e. ἀπήναις — μοναμπυκίᾳ (μονοχαλίνῳ) sc. κέλητι mit lyrischer Kühnheit: Einzelrenner, eigentlich ein Roß mit einem Stirnbande (ἄμπυξ). — Uebrigens hatte Psaumis nach V. 3. nur auf den ἀπήναις gesiegt. — V. 8. τὶν s. ob. B. No. 9. b. — νικάσαις §. 33. A. 4. §. 34. F. 4. ἀνέθηκε, eigentlich vom Aufsetzen einer Krone, oder eines Kranzes, erhöht das Bild von κῦδος — ὃν πατέρα §. 57, 1. Nach der Preisaustheilung von den Hellanodiken (Kampfrichtern) wurde der Name des Siegers, seines Vaters und Vaterlandes, so wie der Kampf, worin er gesiegt hatte, von dem Herold ausgerufen. — νέοικον ἕδραν, κτίζεται μὲν

ἵκων δ᾽ Οἰνομάου καὶ Πέλοπος παρ᾽ εὐηράτων Στρ. β'
σταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀείδει μὲν ἄλσος ἁγνόν
τὸ τεὸν, ποταμόν τε Ὤανον, ἐγχωρίαν τε λίμναν,

καὶ σεμνοὺς ὀχετοὺς, Ἵππαρις οἶσιν ἄρδει στρατόν, Ἀντ. β'
κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος,
ἀπ᾽ ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν.

αἰεὶ δ᾽ ἀμφ᾽ ἀρεταῖσι πόνος δαπάνα τε μάρναται πρὸς ἔργον Ἐπ. β'
κινδύνῳ κεκαλυμμένον· εὖ δὴ ἔχοντες σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν.

γὰρ ἡ Καμαρίνα τεσσαρακοστῇ πέμπτῃ Ὀλυμπιάδι. ἐπικρατησάντων δὲ τῶν Συρακουσίων πορθεῖται τῇ νζ (57) Ὀλυμπιάδι, εἶτα ἐν τῇ πέ (85) Ὀλυμπιάδι τῷ μεταξὺ χρόνῳ, καθ᾽ ὃν ἐνίκησεν ὁ Ψαῦμις, ἀνακτίζεται. Thuc. 6, 5. — V. 1. ἵκων δ᾽ Οἰνομάου ꝛc. ἀπὸ τῆς Πίσης, wo Oenomaos und nachher sein Schwiegersohn, Pelops, Könige waren. — V. 10. πολιάοχε Παλλάς. Καμαριναίων θεὸς ἡ Ἀθηνᾶ, διὰ πλείστης τιμῆς παρ᾽ αὐτοῖς οὖσα, καὶ Ἀθήναιον ἐπίσημον ἐν Καμαρίνῃ. ὑμνεῖ δὲ καὶ τὸν ποταμὸν Ὤανιν καλούμενον καὶ τὴν ἐγχωρίαν λίμνην Καμαρίναν. — ἄλσος ἁγνόν; nach diesem pflegte der Festzug der einheimischen Sieger geführt und das Lied gesungen zu werden. — V. 12. Ἵππαρις, ποταμὸς ἐν Σικελίᾳ πλησίον Καμαρίνης· τοσοῦτος τῷ ῥεύματι, ὡς καὶ ναυσίπορος εἶναι. ἔχει δὲ τὰς πηγὰς ἔκ τινος ὄρους ἐν Σικελίᾳ δένδρα πόλλα ἔχοντος. Derselbe (jüngere) Scholiast bezieht daher V. 13. κολλᾷ — ὑψίγυιον ἄλσος auf den Hipparis, der den Kemarinäern aus dem Waldgebirge das Holz zum Wiederaufbau ihrer zerstörten Stadt zuflößt. Besser aber geht dies wohl auf den Psaumis, der mit edlem Sinne Schätze zum Aufbau bot. — ὑψιγ. ἄλσος θαλ sind dann die neuen, hochaufgeführten Straßen. So bekommt auch V. 14. ἄγων ἐς φάος vollere Beziehung. σταδίων θαλάμ. i. e. σταθερῶν οἴκων. — V. 15. ἀμφ᾽ ἀρεταῖσι ist das Ziel der Bestrebungen (πόνος δαπάνα τε) πρὸς ἔργ. hier in Beziehung auf die Festspiele. Der edle Mann scheut für das große Werk keine Mühe, keinen Aufwand, keine Gefahr; aber nur (V. 16.) εὖ δ᾽ ἔχοντες (πράξαντες, οἱ νικήσαντες) erscheinen als Weise, wie Psaumis — ἔμμεν (§. 37, 2.), wofür Theokr. ἦμες, od. ἦμεν hat. —

Στρ. γ'. Σωτὴρ ὑψινεφὲς Ζεῦ, Κρόνιόν τε ναίων λόφον
τιμῶν τ' Ἀλφεὸν εὐρὺ ῥέοντ' Ἰδαῖόν τε σεμνὸν ἄντρον
ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς,

Ἀντ. γ'. αἰτήσων πόλιν εὐανορίαισι τάνδε κλυταῖς
δαιδάλλειν, σέ τ', Ὀλυμπιόνικε, Ποσειδανίοισιν ἵπποις
ἐπιτερπόμενον φέρειν γῆρας εὔθυμον ἐς τελευτάν,

Ἐπ. γ'. υἱῶν, Ψαῦμι, παρισταμένων. ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει,
ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθεὶς, μὴ ματεύσῃ θεὸς γενέσθαι.

— V. 17. Κρόνιον λοφ. (τὸ Κρονεῖον), ein dem Kronos geheiligter Hügel bey Olympia Xenoph. Hellen. VI. 4, 14 Schol. ἤγουν τὴν Πίσαν. — V. 18. τιμῶν Ἀλφεόν. ἀπὸ μέρους τὴν Ἦλιν λέγει διὰ τὸν ἀγῶνα — Ἰδαῖον ἄντρ. τὸ Κρητικὸν ὄρος, ἔνθα ἀνετράφη ὁ Ζεὺς ὑπὸ τῶν Κουρήτων φρουρούμενος. — V. 19. σέθεν §. 28, A. Anm. 3. Λυδίοις — αὐλοῖς, ἢ διότι τοὺς μετὰ Πέλοπος ἐκ Λυδίας ἐλθόντας αὐλητὰς πρώτους (Hyagnis, Marsyas, Olympos,) Ἕλληνες ἐμιμήσαντο, ἢ ὅτι οἱ Λύδιοι αὐλοὶ γλυκύτεροι καὶ ποικιλότεροι τῶν ἄλλων εἰσίν. — V. 20. εὐανορίαισι i. e. ἀρεταῖς — V. 21. Ποσειδανίοισιν ἱπ. ἐπεὶ φίλιππος ὁ θεός, als Schöpfer des Rosses, auch ἵππικός Soph. Oed. Col. 710–715. — V. 23. ὑγίεντα ὄλβ. ἄρδει. Isthm. V. 15–17. Δύο δέ τοι ζωᾶς ἄωτον μοῦνα ποιμαίνοντι τὸν ἄλπνιστον εὐανθεῖ σὺν ὄλβῳ. — V. 24. ἐξαρκέων (ἑαυτῷ) κτεάτεσσι i. e. ἔχων ἱκανὰ κτήματα. μὴ ματ. — γενέσθαι. Eine gewöhnliche Warnung vor Uebermuth, die später sprichwörtlich wurde. Plutarch. Pelopid. 34. Διὸ βέλτιον ὁ Λάκων τὸν Ὀλυμπιονίκην Διαγόραν, ἐπιδόντα μὲν υἱοὺς στεφανουμένους Ὀλυμπιάσιν, ἐπιδόντα δ' υἱωνοὺς καὶ θυγατριδοῦς, ἀσπασάμενος· Κάτθανε, εἶπε, Διαγόρα· οὐκ εἰς τὸν Ὄλυμπον ἀναβήσῃ. Cic. Tusc, 1, 46. Isthm. VI, 14, V, 17. Ol. III, 81. —

No. 3. Ἀσωπίχῳ Ὀρχομενίῳ παιδὶ σταδιεῖ.



Καφισίων ὑδάτων λαχοῖσαν αἵτε Στρ. α'
ναίετε καλλίπωλον ἕδραν,
ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
Χάριτες Ὀρχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπίσκοποι,
κλῦτ᾽, ἐπεὶ εὔχομαι. σὺν ὑμῖν γὰρ τά τε τερπνὰ καὶ

No. 3. Ol. XIV. Ein Aufruf an die Chariten, den Schutzgöttinnen von Orchomenos und Spenderinnen alles Guten und Schönen, dem Festzuge des Knaben Asopichos hold zu seyn. Sein Wiederhall töne bis in das Schattenreich, dem seligen Vater Kleodamos die Siegesbotschaft zu verkünden.

V. 1—5. Zu Orchomenos in Böotien (Iliad. IX, 381.) einige Meilen südlich vom Hauptflusse des Landes, Kaphisos (gew. Kephisos), hatte nach der Sage Eteokles, ein angeblicher Sohn des Stromgottes, vor uralter Zeit den Chariten einen Tempel geweiht, worin die Orchomenier

τὰ γλυκέα γίγνεται πάντα βροτοῖς,
εἰ σοφὸς, εἰ καλὸς, εἴ τις ἀγλαὸς ἀνήρ. οὔτε γὰρ θεοί
τὶ σεμνᾶν Χαρίτων ἄτερ
κοιρανέοντι χοροὺς οὔτε δαῖτας· ἀλλὰ πάντων ταμίαι
ἔργων ἐν οὐρανῷ, χρυσότοξον θέμεναι παρὰ
Πύθιον Ἀπόλλωνα θρόνους,
ἀέναον σέβοντι πατρὸς Ὀλυμπίοιο τιμάν.
Στρ. β'. ὦ πότνι' Ἀγλαΐα φιλησίμολπέ τ'
Εὐφροσύνα, θεῶν κρατίστου
παῖδες, ἐπάκοος γένευ, Θαλία τε
ἐρασίμολπε, ἰδοῖσα τόνδε κῶμον ἐπ' εὐμενεῖ τύχᾳ

sie noch als vaterländische Schutzgöttinnen verehrten. — λαχοῖσαν (§. 34. F. 1, a.) Der Kaphisos ergoß sich in der Nähe von Orchomenos in den See Kopais. — gewöhnlich λαχοῖσαι. — καλλίπωλον die böotischen Rosse sind bekannt; vorzüglich beliebt sollen die orchomenischen gewesen seyn. — παλαιγ. Μινυᾶν (oben No. 1, 1.), τὸ τῶν Μινυῶν γένος, ἀρχαῖον ἀπὸ Μινυοῦ τοῦ Θετταλοῦ· ὁ δὲ Μινυὸς πρῶτος ἦρξεν Ὀρχομενίων. Daher es auch bey Homer Iliad. II, 511. Od. XI, 284. Μινύειον zum Unterschied von Ὀρχομ. πολύμηλος in Arkadien heißt; bey Pindar aber schon (V. 19.) Μινυεία — κλῦτ' ἐπεὶ εὐχ. nachdrücklicher, als κλῦτέ μου εὐχομένου. — V. 7. εἰ σοφὸς ꝛc. Die Fortsetzung von βροτοῖς, in gewöhnlich ausdrucksvollerer Wendung für εἴτε σοφῷ, εἴτε etc. — V. 9. κοιρανέοντι (§. 34. A, 7.) κοσμοῦσι in der gewöhnlichen Homerischen Bedeutung anordnen, durch Anordnung zieren, administrare. Alles Schöne (Gesänge und Chorreigen) auf der Erde, wie im Olymp, ordnen die Chariten; daher V. 10. θέμεναι παρὰ Πυθ. Ἀπ. ob. No. 1, V. 10. Schol. παρὰ τῷ Ἀπόλλωνι φησὶ καθέζεσθαι τὰς Χάριτας, διὰ τὴν εἰς αὐτὸν οἰκειότητα· ἐν γοῦν Δελφοῖς ἐπὶ τῆς δεξιᾶς εἰσιν ἱδρυμέναι τοῦ Ἀπόλλωνος. — V. 13 – 15. Sie waren Töchter des Zeus; im Hesiodos Theog. 906. schon ihre Namen:

Τρεῖς δέ οἱ Εὐρυνόμη Χάριτας τέκε καλλιπαρήους
Ἀγλαΐην τε καὶ Εὐφροσύνην, Θαλίην τ' ἐρατεινήν.

— V. 15. ἐπάκοος γένευ (ob. No. 1, 9.) im Prädikat nur auf die letztgenannte Thalia bezogen, die durch ἰδοῖσα (s. V. 1.) und σεῦ ἕκατι (vergl. ob. 1, 10.) näher bezeichnet wird. Gewöhnliche Lesart ἐπάκοοι νῦν, Hermann ἐπάκοοι τανῦν. — V. 16. κῶμον den Festzug, der die Freude des Knaben mit in sich schließt. — κοῦφα βιβ. den leicht hinschwebenden. —

κοῦφα βιβῶντα· Λυδίῳ δ᾽ Ἀσώπιχον ἐν τρόπῳ
μελέταις ἔν τ᾽ ἀείδων ἔμολον,
οὕνεκ᾽ Ὀλυμπιόνικος ἁ Μινυεία σεῦ ἕκατι.
μελαντειχέα νῦν δόμον
Φερσεφόνας ἴθι, Ἀχοῖ, πατρὶ κλυτὰν φέροισ᾽ ἀγγελίαν,
Κλεύδαμον ὄφρ᾽ ἰδοῖσ᾽ υἱὸν εἴπῃς, ὅτι οἱ νέαν
κόλποις παρ᾽ εὐδόξου Πίσας
ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν.

No. 4. Die Macht der Lyra.

Strophen.

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ ⏓
–́ ⏑ – – –́ ⏑⏑ – –́ ⏑ – – –́ ⏑⏑ – ⏑⏑ – –́ ⏒
x̲ – –́ ⏑ – – –́ ⏓

— V. 17. *Λυδίῳ ἐν τρόπῳ* vergl. vorher No. 2, 19. — V. 19. *σεῦ ἕκατι* durch **deine** Gunst, ist in V. 5 und 6 begründet. — V. 20—21. Der Dichter wendet sich an die Echo (*Ἀχώ*, zuweilen auch *Ἀγγελία* Ol. VIII, 107.). — *Φερσεφόνας* (§. 13. B, b. 4.) *δόμον*, in die Unterwelt hinabzubringen die frohe Kunde. — V. 22. *Κλεύδαμον*, gew. *Κλεόδαμον* — *ὄφρ᾽ ἰδοῖσ᾽ υἱὸν εἴπῃς, ὅτι* gewöhnliche Attraction, für *ὄφρα εἴπῃς, ὅτι υἱὸς οἱ ἐστεφάνωσε νέαν χαίταν* (als Jüngling *παῖς*) *πτεροῖσιν ἀεθλ. κ.* i. e. *στεφάνοις ἀεθ.* weil der bekränzte Sieger gleich wie mit Fittigen auf der Bahn des Ruhmes sich fortschwingt; *παρὰ κόλποις εὐδ. Πίσας* in die Thalwindungen des Alpheus, wo Pisa (Olympia) lag. Siehe oben No. 1, 12.

. 4. Der Anfang der ersten Pyth. Ode an Hieron, dem Aetnäer. — Alles huldigt den Tönen der Lyra, auf Erden, wie im Himmel. Dort bewegt sie den Chor und den Sänger, hier stillt sie den Zorn des Zeus (löschet seinen Blitzstrahl); der Adler entschlummert unter ihren Tönen, selbst Ares verläßt das Kriegsgewühl und eilt zum Tanze. Nur, was den Göttern verhaßt ist, kann sie nicht lieben, wie Typhos, das Ungeheuer, das unter dem Aetna liegt und Feuer speit.



Epode.



Στρ. ά Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων
σύνδικον Μοισᾶν κτέανον· τᾶς ἀκούει μὲν βάσις,
ἀγλαΐας ἀρχά,
πείθονται δ᾽ ἀοιδοὶ σάμασιν,
ἁγησιχόρων ὁπόταν προοιμίων ἀμβολὰς τεύχῃς
ἐλελιζομένα.
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
ἀενάου πυρός. εὕδει δ᾽ ἀνὰ σκάπτῳ Διὸς αἰετὸς,
ὠκεῖαν πτέρυγ᾽ ἀμφοτέρωθεν χαλάξαις,

— V. 1. σύνδικον κτ. dem Apollo und den Musen gemeinsam. — V. 2. ἀγλαΐας ἀρχά Apposition zu βάσις, mit dem die festliche Feyer anhebt, ἕπεται ὁ τῶν χορευτῶν ῥυθμός. — V. 3. σάμασι i. e. συνθήμασι. — V. 4. Denn nach dem Vorspiel (ἀμβολὰ §. 14, A, 1. ἀναβάλλεσθαι) beginnen die Gesänge (προοίμια), nach deren Takt sich der Chor bewegt, ἁγησίχορα. — V. 5. 6. κεραυν. αἰχματὰν, in so fern er geschwungen wird;

ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ' ἐπί οἱ νεφέλαν Ἀντ. ά.
ἀγκύλῳ κρατὶ, γλεφάρων ἁδὺ κλαΐςρον, κατέ-
χευας. ὁ δὲ κνώσσων
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βιατὰς Ἄρης,
τραχεῖαν ἄνευθε λιπὼν
ἐγχέων ἀκμὰν, ἰαίνει καρδίαν
κώματι, κῆλα δὲ καὶ δαιμόνων θέλγει φρένας, ἀμφί
τε Λατοίδα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν.
ὅσσα δὲ μὴ πεφίληκε Ζεὺς, ἀτύζεται βοὰν Ἐπ. ά.
Πιερίδων ἀΐοντα, γᾶν τε καὶ πόντον κατ' ἀμαι-
μάκετον,
ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν πολέμιος,
Τυφὼς ἑκατοντακάρανος· τόν ποτε
Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν
ταὶ θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
Σικελία τ' αὐτοῦ πιέζει στέρνα λαχνάεντα· κίων
δ' οὐρανία συνέχει,

ἀενάου. τὸ ἀέναον κυρίως ἐπὶ τῶν ὑδάτων τέθεται· καταχρηςικῶς δὲ ὁ Πίνδαρος νῦν καὶ ἐπὶ τοῦ κεραυνοῦ τάττει, ἀντὶ τοῦ, ἄσβεστον. — σκάπτω §. 13, A. d, 3. χαλάζαις ob. No. 2, 8. §. 33, A, 3. — V. 7. 8. ἐπὶ zu κατέχευας οἱ ἀγκύλῳ κρατί (ἀγκ. κρ. αὐτοῦ) κελαινῶπιν νεφελ. γλεφάρων (§. 13, A, a. 2.) ἁδὺ κλαΐςρον §. 13. B, c, 2. — V. 9. ὑγρὸν νωτ. drückt das sanfte Auf- und Abwallen des Rückens im Schlafe aus. — V. 10. ῥιπαῖσι, ταῖς βολαῖς. λέγει δὲ τοῖς μέλεσιν. — βιατὰς Ἄρης 2c. vergleiche im Nibelungenlied 7365. — V. 12. κῆλα, τὰ ὑπὸ τῆς μουσικῆς θέλγματα — ἀμφὶ (σὺν) σοφίᾳ, Gesang überhaupt bey Pindar. — Λατοίδα (oben No. 1. V. 8.) Ἀπόλλωνος, der Leto Sohn. — Μοισᾶν vergl. unten V. 28. — V. 15. ἐν αἰνᾷ Ταρτάρῳ. Thiersch vermuthet ἐν εὐνᾷ Ταρτάρου, aber Τάρταρος findet sich auch als Femininum Eustath. ad Iliad. ά p. 81. — V. 16—19. Τυφὼς ἑκατονταϰ. siehe oben No. 1, 8. das Symbol furchtbarer Naturerscheinungen überhaupt, wird daher an verschiedenen Orten gedacht. Ἀρτέμων δέ τίς φησι, πᾶν ὄρος, ἔχον πυρὸς ἀναδόσεις ἐπὶ Τυφῶνι καίεται — τύφειν γὰρ τὸ καίειν. ὁ δὲ Πίνδαρος φησὶ τὸν Τυφῶνα ἐν Κιλικίᾳ τεθράφθαι, ὡς καὶ Ὅμηρος (κιλίκιον ἄντρον). Pompon. Mel. 1, 13. bemerkt, daß dort die Hôle des Typhos noch mit Dampf und Schwefel angefüllt sey.

νιφόεσσ᾽ Αἴτνα, πάνετες χιόνος ὀξείας τιθήνα·
Στρ. β'. τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται
ἐκ μυχῶν παγαί· ποταμοὶ δ᾽ ἁμέραισιν μὲν προ-
χέοντι ῥόον καπνοῦ
αἴθων᾽· ἀλλ᾽ ἐν ὄρφναισιν πέτρας
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόν-
του πλάκα σὺν πατάγῳ.
κεῖνο δ᾽ Ἁφαίστοιο κρουνοὺς ἑρπετόν
δεινοτάτους ἀναπέμπει· τέρας μὲν θαυμάσιόν τι
ἰδέσθαι, θαῦμα δὲ καὶ παριόντων ἀκοῦσαι,
Ἀντ. β'. οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς
καὶ πέδῳ, στρωμνὰ δὲ χαράσσοισ᾽ ἅπαν νῶτον
ποτικεκλιμένον κεντεῖ. —

Zu Pindars Zeiten, wo jene Sage erloschen war, liegt er unter Sicilien, und erstreckt sich unter dem Meere hinauf nach Kyma an der Westküste von Italien, vergleiche Strabo 5, 4. §. 9. — στέρνα λαχνάεντα. der Sage nach ist der Typhos aus Schlangen und Stücken reißender Thiere zusammengesetzt; daher auch V. 25. ἑρπετόν. — V. 20. χιόνος ὀξει. τιθήνα, ἣ κατὰ πᾶσαν ὥραν ἔτους χιονιζομένη καὶ τῆς ὀξείας χιόνος τροφὸς οὖσα. — V. 21. τᾶς zu πάγαι ἁγνοτ., wie ἀπλάτου (i. e. ἀπροσπελάσου inaccessus) πυρός; nicht selten sind doppelte Genitiv von demselben Nomen abhängig, Soph. Oed. Col. 668—69: Εὐίππου, ξένε, τᾶσδε χώρας ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα. — Oed. Tyr. 164—67. — V. 22—24. ἀλλὰ φοίνισσα φλὸξ ἐν ὀρφν. κυλίνδ. φερ. σ. παταγ. πέτρας ἐς βαθ. πλ. πόντου. Nach Strabo, in der obigen Stelle, leuchten bey Nacht helle Blitze aus dem Gipfel, den Tag über ist er von Rauch und Wolken umgeben. — V. 25. Ἁφαίστοιο κρουνούς die Lavaströme, ῥύαξ. V. 26. θαυμάσιόν τι δέδεται sc. Τυφώς — ἐπίκειται τῷ στήθει ἡ Αἴτνη ὥσπερ δεσμὸς καὶ σχοινίον ἐν μέσῳ αὐτὸν συνέχουσα. — V. 28. στρωμνὰ χαράσσοισα (ἐπιξύουσα, ἐπινύττουσα). Ueber die Form -οισα, siehe vorher No. 3, 1. 16. 21, 22.

No. 5. *Ξενοκράτει Ἀκραγαντίνῳ ἅρματι.*

Strophen.



Ἀκούσατ'· ἦ γὰρ ἑλικώπιδος Ἀφροδίτας Στρ. α'.
ἄρουραν ἢ Χαρίτων
ἀναπολίζομεν, ὀμφαλὸν ἐριβρόμου

No. 5. Pyth. VI. Der Ueberschrift nach an Xenokrates, Bruder des Theron, Königs von Akragas, den Enkel des Emmenides (V. 5.) und Urenkel jenes Telemachos, der die Herrschaft des Phalaris stürzte; nach V. 15. aber an seinen Sohn Thrasybulos, gerichtet. Dieser hatte wahrscheinlich den Sieg gewonnen, aber seinen Vater als Sieger ausrufen lassen, so daß die ganze Ehre des Sieges auf den Vater überging; dem Sohne aber der Ruhm kindlicher Liebe zu Theil ward. Dies erhellet vorzüglich aus der durchgeführten Vergleichung des Thrasybulos mit Antilochos, Nestors Sohne, welcher durch Aufopferung seines eigenen Lebens, das seines Vaters erhielt. — Dieser Gesang gehört in die frühern Jahre des Dichters, wofür der dithyrambische Schwung zeugt.

— V. 1—3. *Ἀφροδ. ἄρουραν, ἢ Χαρ. ἀναπολίζομεν*, die Flur der Aphrod. und Chariten bebauen, d. h. Lieder voll Schönheit und Anmuth singen — ein geliebtes Bild des Dichters, das er vielfach wiederstrahlen läßt. Vergl. oben 1, 10. Neme. 6, 56, wo die Dichter *Πιερίδων ἀρόται* heißen. — Nem. 10, 49. *Μοίσαισι ἔδωκ' ἀρόσαι — στέφανον.*

χθονὸς ἀένναον προσοιχόμενοι,
Πυθιόνικος ἔνθ᾽ ὀλβίοισιν Ἐμμενίδαις
ποταμίᾳ τ᾽ Ἀκράγαντι καὶ μὰν Ξενοκράτει
ἑτοῖμος ὕμνων
θησαυρὸς ἐν πολυχρύσῳ
Ἀπολλωνίᾳ τετείχισται νάπᾳ·

Στρ. β΄. τὸν οὔτε χειμέριος ὄμβρος ἐπακτὸς ἐλθών,
ἐριβρόμου νεφέλας
στρατὸς ἀμείλιχος, οὔτ᾽ ἄνεμοι ἐς μυχούς
ἁλὸς ἄξοισι παμφόρῳ χεράδι
τυπτόμενοι. φάει δὲ πρόσωπον ἐν καθαρῷ
πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ
λόγοισι θνατῶν
εὔδοξον ἅρματι νίκαν
Κρισαίαισιν ἐν πτυχαῖς ἀπαγγελεῖ.

— V. 4. προσοιχόμενοι ὀμφαλὸν ἀένναον (aus ἀείναον gebildet nach §. 13. A. d.) vergl. §. 76. 3. Umschreibung von Pythia, oder Delphi, nach der ältern Vorstellung, daß es der Mittelpunkt der Erde sey. — χθ. ἐριβρόμου, wegen der Kampfspiele und hier vorzüglich in Beziehung auf das Wagenrennen. — V. 5—8. Geschlecht und Vaterstadt wurden durch den Sieger verherrlicht, vergl. oben No. 2, 8. — ἑτοῖμος ὕμνων θησαυρός — τετείχισται (dort) in dem Apollonischen Thalgrunde liegt, den Emmeniden bewahrt, ein Schatz unsterblicher Gesänge zur Verherrlichung ihrer pythischen Siege. Das Bild ist von den Schatzhäusern hergenommen, welche viele Staaten im Tempelgebiet zu Delphi hatten, um dort ihre Weihgeschenke aufzubewahren — das der Emmeniden aber ist unzerstörbar und ewig, die ewigen Gaben der Chariten bewahrend. — V. 10. ἐπακτὸς ἐλθὼν ὄμβρος i. e. πολλῶν νεφῶν εἰς ταυτὸ συναγομένων, bereitet die Apposition στρατός vor. — V. 11—14. οὔτ᾽ ἄνεμοι τυπτόμενοι sich schlagend, kämpfend, παμφόρῳ χεράδι mit dem allentführten Meersande, ἄξοισι (ob. No. 4, 28.) ἐς μυχοὺς ἁλ., andere Lesart οὔτ᾽ ἄνεμος — ἄξει (ἄξοι) τυπτόμενος — nach Etym. Magn. τυπτόμενον. — V. 14. Das vorhergehende τὸν V. 10. auf θησαυρὸς bezogen, verwandelt sich in das Subject. πρόσωπον (ἔχων) ἐν κ. φ. Matth. gr. Gr. §. 427 i. e. ἐπιφανής, φαιδρὸς τὸ πρόσωπον, als schöner Gegensatz zu ἐς μυχοὺς ἁλός. — V. 15—18. constr. ἀπαγγελεῖ νίκαν (ἐν) ἅρματι κοινὰν

σύ τοι σχέθων νιν ἐπιδέξια χειρὸς ὀρθάν Στρ. γ'.
ἄγεις ἐφημοσύναν,
τά ποτ' ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ
Φιλύρας υἱὸν ὀρφανιζομένῳ
Πηλεΐδᾳ παραινεῖν· μάλιςα μὲν Κρονίδαν,
βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,
θεῶν σέβεσθαι·
ταύτας δὲ μή ποτε τιμᾶς
ἀμείρειν γονέων βίον πεπρωμένον.
ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατάς Στρ. δ'.
νόημα τοῦτο φέρων,
ὃς ὑπερέφθιτο πατρὸς, ἐναρίμβροτον
ἀναμείναις στράταρχον Αἰθιόπων
Μέμνονα. Νεςόρειον γὰρ ἵππος ἅρμ' ἐπέδα

πατρὶ τεῷ τε (καὶ) γενεᾷ (jedem Stammesgenossen) εὔδοξον λόγοισι θνατῶν ἐν Κρισ. πτυχαῖς (νάπαις) i. e. ἐν Δελφοῖς. — V. 10. σύ τοι (ὦ Θρασύβουλε) σχέθων νιν (νίκαν) ἐπιδέξια χειρὸς (ἐν δεξιᾷ) d. h. des Sieges gewiß, theilhaftig. Andre beziehen νιν auf Xenokrates, Thrasybulos Vater, den der Jüngling im Siegesaufzuge an der Rechten führend gedacht wird — ihm also nahte zum Ruhme, wie Antilochos dem Nestor. — V 21. τά ποτε im allgemeinen auf ἐφημοσύναν bezogen für τούτων, ἅ; ähnlicher Gebrauch des Relativs Pyth. 1, 142. Pyth. II, 137. Pyth. VIII, 97. — ἐν οὔρεσι s. ob. No. 1, 9. — φαντί §. 37, I. — V. 22. Φιλύρας υἱόν i. e. Χείρωνα, den Erzieher des Achilleus — ὀρφανιζομένῳ τῶν γονέων. — V. 23 — 27. βαρυόπαν, μεγαλόφωνον, durch die folgenden Genitive näher bestimmt. — ταύτας τιμᾶς, nehmlich μάλιςα τῶν θνητῶν σέβεσθαι τοὺς γονεῖς. — βίον πεπρωμ. ἐφ' ὧν ζῶσι χρόνων γονεῖς — Der Sinn jenes weisen Gebotes also ist: περὶ τοὺς θεοὺς καὶ τοὺς γονεῖς φυλάττειν τὴν εὐσέβειαν. — V. 28. 29. βιατάς γενναῖος — νόημα τοῦτο. τὸ περὶ τοὺς γονέας εὐσεβές. —, V. 31. ἀναμείναις (V. 41.) siehe oben No. 2, 8 — V. 32. Μέμνονα. Der Kampf des Antilochos mit Memnon war in der Aethiopis des Arktinos, einem epischen Gedicht, aus dem Cyclus, enthalten, wie die Inhaltsanzeige aus der Venediger Handschrift der Iliade lehrt: „Memnon aber in einer vom Hephästos gearbeiteten Rüstung zieht den Troern zu Hülfe und Thetis sagt ihrem Sohne das Schicksal des Memnon vorher. Als

Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ' ἔφεπεν
κραταιὸν ἔγχος·
Μεσσανίου δὲ γέροντος
δοναθεῖσα φρὴν βόασε παῖδα ὄν·
Στρ. ε. *χαμαιπετὲς δ' ἄρ' ἔπος οὐκ ἀπέριψεν· αὐτοῦ·*
μένων δ' ὁ θεῖος ἀνὴρ
πρίατο μὲν θανάτοιο κομιδὰν πατρός,
ἐδόκησέν τε τῶν πάλαι γενεᾷ
ὁπλοτέροισιν, ἔργον πελώριον τελέσαις
ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.
τὰ μὲν παρίκει·
τῶν νῦν δὲ καὶ Θρασύβουλος
πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,

es darauf zur Schlacht kommt, wird Antilochos vom Memnon erlegt. Hierauf tödtet Achilleus den Memnon und diesem erbittet Eos vom Zeus die Unsterblichkeit.“ Thiersch zu Pind. Pyth. 6. — *ἐπέδα*, *ἐνεπόδιζεν*. — *Πάριος* ob. No. 1, 11. — V. 35. *Μεσσανίου δὲ γέρ.* *Μεσσήνιον τὸν Νέσορα φασὶν οὗτοι, ὅσοι ὑπέλαβον τὸν Πύλον τῆς Μεσσήνης. Τριῶν γὰρ ὄντων τῶν ἐν Πελοποννήσῳ Πύλων, εἷς μέν ἐσιν ὁ περὶ τὸν Ἀλφειὸν ποταμὸν ἐν Ἤλιδι Πύλος· ὃν καὶ ὑπὸ Ἡρακλέος πεπορθῆσθαι φασίν· ἕτερος ὁ Τριφυλιακὸς Πύλος, ἐν ᾧ ὁ Ἀμαθόεις ποταμός· τρίτος ἐν Μεσσήνῃ περὶ τὸ Κορυφάσιον.* Nach Strabo ist Nestor aus Pylos Triphyl. — V. 36. *δοναθεῖσα*, *ταραχθεῖσα* §. 2, 1, a. — *βόασε* §. 33. A, 4. — V. 37. *χαμαιπετὲς* Hom. *ἐτώσιον* i. e. *μάταιον*. — V. 38. 39. *αὐτοῦ μένων* im Homerischen Sinne, wie *αὖθι μένων* Il. 1, 492. III, 291. Eurip. Androm. 962 und für *θανὼν* vorzüglich Eurip. Alcest. 491: *κτανὼν ἄρ' ἥξεις ἢ θανὼν αὐτοῦ μενεῖς.* Jon. 1038. *κατθανὼν δ' αὐτοῦ μενεῖ.* — V. 39 *πρίατο θανάτοιο* Buttm. gr. Gr. §. 119, 6, 2. — *κομιδὰν* sc. *ζωῆς πατρὸς* i. e. *ζωήν*. — V. 40—42. *ἐδόκησεν* (*ἔδοξεν*) *τῶν πάλαι* (*νεανιῶν*) *ὕπατος ἔμμεν* (ob. No. 2, 16.) *πρὸς ἀρετὰν ἀμφὶ τοκεῦσιν* i. e. *πρὸς εὐσέβειαν περὶ τοὺς γονεῖς* — *ὁπλοτέροισι γενεᾷ* Dat. commodi. — V. 23. *τὰ μὲν* (*πάλαι*) im Gegensatz des folgenden *τῶν νῦν* — *παρίκει* siehe ob. No. 1, 11.; letzterm entspricht wieder durch eine dichterische Wendung V. 45. *πρὸς* — *ἔβα στάθμαν πατρ.* *ὀρθότητα*, i. e. *περὶ πάντας τιμᾷ τὸν ἑαυτοῦ πατέρα* — *πάτρῳ*, *τὸν Θήρωνα λέγειν θέλει, τὸν ἀδελφὸν Ξενοκράτους.* —

πάτρῳ τ᾽ ἐπερχόμενος ἀγλαΐαν ἔδειξεν· Στρ. ς'.
νόῳ δὲ πλοῦτον ἄγει,
ἄδικον οὔθ᾽ ὑπέροπλον ἥβαν δρέπων,
σοφίαν δ᾽ ἐν μυχοῖσι Πιερίδων.
τίν τ᾽, Ἐλέλιχθον, ὀργαῖς ἐς ἱππίαν ἔσοδον
μάλα ἁδόντι νόῳ, Ποσειδᾶν, προσέχεται.
γλυκεῖα δὲ φρήν
καὶ συμπόταισιν ὁμιλεῖν
μελισσᾶν ἀμείβεται τρητὸν πόνον.

---

6. Μεγακλεῖ Ἀθηναίῳ τεθρίππῳ.

Strophen.



— V. 47. νόῳ – ἄγει τουτέςι, μετὰ λογισμοῦ πλουτεῖ. — V. 48. ἥβαν δρέπων, gewöhnliches Pind. Bild, die Jugendblüthe pflücken, in Prosa χρώμενος τῇ ἥβῃ – ἀπολαύων αὐτῆς — ἄδικον – ὑπέροπ. οὔτ᾽ εἰς ἀδικίαν, οὔτ᾽ εἰς ὑπεροπλίαν — σοφίαν ꝛc. vergl. oben No. 4, 13. in der weitesten Bedeutung, Streben nach dem Höchsten, das Schöne im Gesang. — V. 50. τίν (oben No. 2, 8.) Ἐλελ. Ποσειδᾶν (§. 2, 2.), ὀργαῖς in der allgemeinen Bedeutung, ingenium, suopte ingenio ductus — ἐς ἱππίαν ἔσοδον (ἱππικὰς ἁμίλλας) ad studia equestria vergl. oben No. 2, 21. μαλ. ἁδ. ν. προσέχεται libenter se dedit. ἁδόντι §. 40. — Andere Lesarten sind: — ὅς θ᾽ εὗρες ἱππίας ἐσόδους — προσέχεται — τίν τ᾽ Ἐλελ., ὀργαῖς ὅς εὗρες ἵππιον εἴσοδον ἁδόντι. προσέχεται. Die römische Ausgabe: τίν τ᾽, Ἐλέλιχθον ὀργαῖς πάσαις: ὅς ἱππείαν εἴσοδον μάλ᾽ ἁδόντι νόῳ προσέρχεται, wo ὀργαῖς πάσαις (aus ὀργῇ ἁπάσῃ) Glosse von μάλ᾽ ἁδόντι νόῳ ist. — V. 52—54. συμπόταισιν (τὸ) ὁμιλεῖν i. e. ὁμιλία πρὸς τοὺς συμπότας — ἀμείβεται (νικᾷ) καὶ τρητ. πόνον μελισσᾶν, τουτέςι τὸ μέλι. —

No. 6. Pyth. VII. An Megakles von Athen, wahrscheinlich Sohn des Hippokrates, Enkel des Megakles, der den Pisistratus vertrieben, und Bruder der Agariste, Perikles

– –́ ⏑ – –
– –́ ⏑⏑ – ⏒
5 ⏑ –́ ⏑⏑⏑ –́ ⏑⏑ – –
– –́ ⏑⏑ – ⏑ ⏓
⏑ ⏑⏑́ –́ ⏑ ⏓
⏒ ⏑⏑́⏑ – ⏒

Epode.

x⏑ –́ ⏑⏑ – x⏑ –́ ⏑⏑ –
⏑ –́ – –́ ⏑ – – –́ ⏑⏑ – ⏑ –
x⏑⏑ –́ ⏑⏑ – ⏑⏑́ ⏑ – ⏒
–́ ⏑⏑ – – –́ ⏑ – ⏑ –́ ⏑⏑ –
6 – –́ ⏑ – –́ ⏑⏑ –
⏑ –́ ⏑⏑ – –

Στρ. Κάλλιστον αἱ μεγαλοπτόλιες Ἀθᾶναι
προοίμιον Ἀλκμανιδᾶν ἐρισθενεῖ γενεᾷ
κρηπῖδ᾽ ἀοιδᾶν
ἵπποισι βαλέσθαι.
ἐπεὶ τίνα πάτραν, τίνα οἶκον
ναίοντ᾽ ὀνυμάξομαι

Mutter, aus dem Hause der Alkmåoniden, die durch Krösos Freygebigkeit zu ungewöhnlichem Reichthume und durch Tapferkeit und vaterländischen Sinn zu hoher Macht gelangt waren, Herod. VI. 125. 126.
— V. 1—4. μεγαλοπτόλιες §. 14, A. 3. Anm. προοίμιον, wie oben No. 4, 4. Ἀλκμανιδᾶν siehe oben No. 5, 51. §. 2. 2, 3. βαλέσθαι, ὥςε ὑποβαλέσθαι κρηπῖδα ἀοιδᾶν (ἐν) ἵπποις i. e. περὶ τῆς νίκης ἐν ἱππ. einen Grundstein des Siegsgesanges d. i. auf dem sich der Siegesgesang, wie ein Tempel auf seinen Säulen erhebe. — ἐρισθενεῖ, gewöhnl. εὐρυσθενεῖ. — V. 5—8. τίνα - ὀνυμάξομαι §. 8, 1 mit §. 33, A, 3. — τίνα

ἐπιφανέστερον
Ἑλλάδι πυθέσθαι;

πάσαισι γὰρ πολίεσσι λόγος ὁμιλεῖ Ἀντ.
Ἐρεχθέος ἀστῶν, Ἄπολλον, οἳ τεὸν γε δόμον
Πυθῶνι δίᾳ
θαητὸν ἔτευξαν.
ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ
νῖκαι, μία δ' ἐκπρεπὴς
Διὸς Ὀλυμπιάς,
δύο δ' ἀπὸ Κίῤῥας,
ὦ Μεγάκλεες, ὑμαί τε προγόνων. Ἐπ.
νέᾳ δ' εὐπραγίᾳ χαίρω. τί τόδ' ἄχνυμαι;
φθόνον ἀμειβόμενον τὰ καλὰ ἔργα;

ναίοντα οἶκον ꝛc. quam domum habitantis viri clariorem etc. in Beziehung auf die Alkmäoniden, ἐπιφανέστερον πυθ. muß doppelt genommen und auch auf πάτραν bezogen werden. Hermann nimmt ναίοντα passive für ναιόμεμενον, nach Il. II, 626.; die Handschriften haben auch ναίων, nach Thiersch vielleicht κλείων. Der Scholiast αἰῶν ὀνυμ. — V. 9—12. πολίεσσι, gew. πολίεσι, welche Form zweifelhaft wird, aber oben A. No. 6. steht sie fest. λόγος ὁμιλεῖ (περὶ) Ἐρεχθέος ἀστῶν im allgemeinen die Athenäer, von Erechtheus, einem ihrer ältesten Könige; hier die Alkmäoniden. οἵ - ἔτευξαν, die nach Herodot V, 62. von den Pisistratiden aus Athen verbannt, gegen eine bestimmte Summe den Wiederaufbau des abgebrannten Apollotempels übernahmen und die vordere Seite aus Marmor aufführten, obwohl sie dem Vertrage nach nur gewöhnliche Steine zu nehmen hatten. Πυθῶνι. Πυθών und Πυθώ §. 72. B, 5. der alte Name von Delphi, von dem Drachen Python, den dort Apollo erlegte. — V. 13—17. ἄγοντι (wie V. 20. φαντί siehe oben No. 3, 9.) sc. ἐς τὸ ὑμνεῖν - (ἐν) Ἰσθμοῖ νῖκαι — δύο ἀπὸ Κίῤῥας i. e. Δελφῶν. Kirrha eine alte Seestadt in Phokis am Ausflusse des Plistus in den Krisäischen Meerbusen, südlich von Delphi. — ὑμαὶ (§. 28. B, 1.) τε καὶ προγόν. i. e. αἱ ὑμῶν νῖκαι καὶ τῶν προγ. — V. 18. u. 19. νέᾳ δ' εὐπραγίᾳ geht auf den letzten Sieg. — τί τόδε ἄχν. — ἔργα Megakles wurde wegen seiner Siege vom Neide verfolgt. — ἀμειβόμενον siehe vorher No. 5, 54.

Φαντὶ γε μὰν οὕτω κεν ἀνδρὶ παρμονίμαν
θάλλοισαν εὐδαιμονίαν
τὰ καὶ τὰ φέρεσθαι.

D. Jüngere dorische Poesie in Unteritalien.

Theokritisch-Dorischer Dialect.

No. 1. ΚΥΚΛΩΨ.

Οὐδὲν πὸτ τὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,
Νικία, οὔτ᾽ ἔγχριστον, (ἐμὶν δοκεῖ) οὔτ᾽ ἐπίσπαστον,
Ἤ, ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδὺ
Γίνετ᾽ ἐπ᾽ ἀνθρώποις· εὑρῆν δ᾽ οὐ ῥάδιον ἐντί.

— V. 20 — 22. *φαντί γε μὰν οὕτω*, nehmlich, wenn Neid das glänzende Glück zu verdunkeln strebt — *παρμονίμαν* — *φέρεσθαι* — dies deute nur bleibendes Glück. *τὰ καὶ τά*, Ol. II, 59. *φέρει τῶν τε καὶ τῶν καιρόν.* Isth. IV, 55. *Ζεὺς τά τε καὶ τὰ νέμει* Pyth. V, 55. Nem. I, 30. nach Böckh's Abth.

Der Grundton des theokritischen, oder bukolischen Dialects (jüngerer Dorism. Einleit. §. 6.) ist der dorische, wie er sich in Unteritalien ausgebildet hatte, aber noch mit epischen (*ὁρόωσα*, *κοιμᾶσθαι* rc.) Formen durchwebt. Er scheidet sich daher bedeutend von der ältern dorischen Prosa im eigentlichen Griechenland und steht, selbstständiger in seinen Formen und freyer von der Uebermacht des Epos, mit dem pindarischen im entgegengesetzten Verhältnisse zum epischen. Besondere Eigenthümlichkeiten gab diesem Dorismus noch die idyllische Dichtung, die Bilder des gewöhnlichen und ländlichen Lebens aufstellend, der Hoheit des Epos und der Feyer der Hymnen fernliegt.

Zu seinen Dorismen gehören vorzüglich:

1. die Infinitive auf *εν* für *ειν*, oder (von Verb. auf *εω*) auf *ην* (*εεν*) f. *εῖν*; die Personalausgänge *ες* f. *εις*, *μες* f. *μεν*. 3 P. Pl. auf *οισι* für *ουσι* nur, wo äolische Formen vorherrschen, aber im Particp. fem. *ουσα* f. *οισα* häufig; — Die Contraction *αε* in *η*, bey Verbis auf *άω* und

Γινώσκεν δ᾽ οἶμαί τυ καλῶς, ἰατρὸν ἐόντα,
Καὶ ταῖς ἐννέα δὴ πεφιλαμένον ἔξοχα Μοίσαις.
 Οὕτω γοῦν ῥάϊστα διᾶγ᾽ ὁ Κύκλωψ ὁ παρ᾽ ἁμῖν,
Ὡρχαῖος Πολύφαμος, ὅκ᾽ ἤρατο τᾶς Γαλατείας,
Ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε·

Umtauschung des Stamm=α in ε: αου in εου contr. ευ; wie das ältere κα, γα f. κε, γε; — die Futura auf σῶ und σοῦμαι; — Umbildung intransitiver Perfecte in neue Präsensformen: πεπόνθω aus πέπονθα. — 2. u. 3. P. Plusq. auf ης und η — ἐμμί f. εἰμί, Inf. ἦμες u. ἦμεν (in dor. Prosa) f. εἶναι — ω für ου zu Anfange und in der Mitte der Wörter ὥρεα, Μῶσα, neben Μοῖσα; vorzüglich im Genit. sing. und Acc. pl. der 2ten Declinat.; für letztere auch ος. — ας Acc. pl. 1. Decl. immer kurz. 2. In der Konsonantenvertauschung: σδ, zuweilen, auch das ältere δδ für ζ — ν f. λ. ἦνθε, πότ, ποτί für das alte προτί (πρὸς), κάτ f. κατά. 3. Außerdem einzelne Wortformen: παντᾶ f. πάντη (von einer ungewöhnlichen Femininform) τῆνος (äol. κῆνος), τηνεί, τηνόθι, τηνόθεν, τουτῶθεν, ἠνί, ἠνίδε f. ἰδού, ἦπα (ἢ πᾳ) f. ἤπου, τοσσῆνον f. τοσοῦτον, §. 38, A, 3. ὦ Δᾶν f. ὦ Ζεῦ — λῆς, λῶντι von λαω wollen.

No. 1. Theocr. 11 Idylle. Dieses und das folgende Stück stellen zu dem grausen Gemälde des Homerischen Ungeheuers (Odyss. 9, 116—525) ein liebliches Gegenbild auf. Hier erscheint der Kyklope als Jüngling, voll unwiderstehlicher Liebe gegen eine Nymphe Galatea, die sich ihm zuweilen am Meeresufer zeigt. In der ersten Idylle mildert er seine Leiden durch Gesang; in der zweiten ist er schon ruhiger und scheinbar gleichgültig gegen die vermeinten Neckereien der Nymphe.

V. 1—6. Νικία siehe oben I, 9. Einleitung. — ἐμίν §. 28, A, wie τίν, (29) durchgängig. — εὑρῆν §. 34. E, 1, d. τύ §. 28, A. II, 2, 12. — V. 7—9. διᾶγε §. 32, B, 3. παρ᾽ ἁμῖν in Sicilien, Theokrits Vaterlande. — ὡρχαῖος §. 16, b. Die Schreibart mit dem Spiritus asper und der Koronis zugleich ist noch immer die vorherrschende der Deutlichkeit wegen, obgleich Ein Zeichen schon hinreichend wäre. Es ist schwer zu entscheiden, ob die jüngern Dorier durchgängig den rauhen Hauch mieden; aber in einigen Wörtern ist der Lenis durch die Schreibart der alten Grammatiker eben so verbürgt, als im Jonischen ὦλλοι, ὠὐτός, ὥριςος. — ὅκα, wie τόκα und ähnliche s. I, 1, 5. — Πολύφαμος, der berühmteste Kyklope, ein Sohn des Neptun und der Nymphe Thoosa, Phorkys Tochter — γενειάσδων, wie V. 38. συρίσδεν, V. 71. σφύσδειν §. 12, 1. s. I, 8, 9. —

Ἤρατο δ' οὔτι ῥόδοις, οὐ μάλοις, οὐδὲ κικίννοις,
Ἀλλ' ὀλοαῖς μανίαις· ἁγεῖτο δὲ πάντα πάρεργα.
Πολλάκι ταὶ ὄϊες ποτὶ ταὔλιον αὐταὶ ἀπῆνθον
Χλωρᾶς ἐκ βοτάνας· ὁ δὲ, τὰν Γαλάτειαν ἀείδων,
Αὐτῶ ἐπ' αἰϊόνος κατετάκετο φυκιοέσσας,
Ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος
Κύπριος ἐκ μεγάλας, ἅ οἱ ἥπατι πᾶξε βέλεμνον.
Ἀλλὰ τὸ φάρμακον εὗρε· καθεζόμενος δ' ἐπὶ πέτρας
Ὑψηλᾶς, ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα·
Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ;
Λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα δ' ἀρνὸς,
Μόσχω γαυροτέρα, φιαρωτέρα ὄμφακος ὠμᾶς·
Φοιτῇς δ' αὖθ' οὕτως, ὄκκα γλυκὺς ὕπνος ἔχῃ με,
Οἴχῃ δ' εὐθὺς ἰοῖσα, ὄκα γλυκὺς ὕπνος ἀνῇ με.
Φεύγεις δ', ὥςπερ ὄϊς πολιὸν λύκον ἀθρήσασα.
Ἠράσθην μὲν ἔγωγα τεοῦς, κόρα, ἁνίκα πρᾶτον
Ἦνθες ἐμᾷ σὺν ματρὶ, θέλοισ' ὑακίνθινα φύλλα
Ἐξ ὄρεος θρέψασθαι· ἐγὼ δ' ὁδὸν ἁγεμόνευον.
Παύσασθαι δ' ἐςιδών τυ καὶ ὕστερον οὐδέτι πω νῦν
Ἐκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει, οὐ μὰ Δί', οὐδέν.
Γινώσκω, χαρίεσσα κόρα, τίνος οὕνεκα φεύγεις·

V. 10. ἤρατο, Schol. εἰς ἔρωτα ἐκινήθη· ἠράσθη οὐκ ἐλαφρῶς, ὥςε μῆλα διδόναι (Aepfel No. 2, 6. gehörten zu den gewöhnlichsten Liebespfändern) ἢ ῥόδα, ἢ ἕτερόν τι εἰς τὸ καλλωπίζειν. — V. 12. αὐταὶ i. e. ἑκοῦσαι, μόναι — ἀπῆνθον §. 13, A, d, 1 — V. 14. αὐτῶ §. 38, A, 3. ἐπ' αἰϊόνος, wo man sich ihn auch jetzt denken muß. — V. 19. λευκὰ Γαλ. Virg. Ecl. VII, 37. Nerine Gelatea — candidior cycnis, edera formosior alba. — V. 20. πακτᾶς, τυροῦ πεπηγότος· ὃ οἱ Ἀττικοὶ τροφαλίδα καλοῦσι. — V. 21. φιαρωτέρα — ὠμᾶς, ein Bild schwellender Jugendfülle. — V. 22. αὖθ' οὕτως: unverständliche Worte; bequemer wird der Sinn, wenn man mit Wassenberg V. 22 u. 23. umstellt: φοιτῇς δ' εὐθὺς ἰοῖσα ὄκα γλ. — ἔχῃ με, οἴχῃ δ' αὖθ' οὕτως, ὄκκα γλ. ὕ. ἀνῇ με. Vielleicht ist zu lesen: φοιτῇς δ' εὐθὺς τῶδ' ὄκκα ꝛc. τῶδε für ὧδε nach §. 8. — V. 25. τεοῦς (V. 52.) §. 28, A, An. 3. vergl. I. No. 5, 5. II, 2, 69. — V. 26. θέλοισα, wie vorher ἰοῖσα, unt. V. 63. §. 34, F, 1. a. — V. 28. οὐδέτι πω f. οὐδέπω. — V. 29. ἐκ τήνω, wie V. 45 τηνεί, §. 30, 2. — οὐ — οὐδέν Buttm. gr. Gr. §. 135, 6.

Οὕνεκά μοι λασία μὲν ὀφρὺς ἐπὶ παντὶ μετώπῳ
Ἐξ ὠτὸς τέταται ποτὶ θὤτερον ὦς μία μακρά·
Εἷς δ' ὀφθαλμὸς ἔπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.
Ἀλλ' ὡὑτὸς, τοιοῦτος ἐὼν, βοτὰ χίλια βόσκω,
Κἠκ τούτων τὸ κράτιστον ἀμελγόμενος γάλα πίνω·
Τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρῃ,
Οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.
Συρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,
Τὶν, τὸ φίλον γλυκύμαλον, ἅμα κἠμαυτὸν ἀείδων
Πολλάκι νυκτὸς ἀωρί. τρέφω δέ τοι ἕνδεκα νεβρὼς
Πάσας ἀμνοφόρως, καὶ σκύμνως τέσσαρας ἄρκτων.
Ἀλλ' ἀφίκευ τὺ ποτ' ἄμμε, καὶ ἑξεῖς οὐδὲν ἔλασσον.
Τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθῆν.
Ἅδιον ἐν τὤντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς.
Ἐντὶ δάφναι τηνεὶ, ἐντὶ ῥαδιναὶ κυπάρισσοι,
Ἐντὶ μέλας κισσὸς, ἔντ' ἄμπελος ἁ γλυκύκαρπος·
Ἐντὶ ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
Λευκᾶς ἐκ χιόνος, ποτὸν ἀμβρόσιον, προΐητι·
(Τίς κεν τῶνδε θάλασσαν ἔχειν ἢ κύμαθ' ἕλοιτο;)
[Αἰ δέ τοι αὐτὸς ἐγὼν δοκέω λασιώτερος ἦμεν,]
Ἐντὶ δρυὸς ξύλα μοι, καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ.
Καιόμενος δ' ὑπὸ τεῦς καὶ τὰν ψυχὰν ἀνεχοίμαν,

— V. 32. θὤτερον §. 16, b. — V. 33. ῥὶς ἐπὶ χείλει, wie μέτωπον ἐπ' ὀφρύσι. ἐπί mit Dat. drückt die Nähe aus i. e. über. — V. 34. ὡὑτός §. 30, 1. — V. 37. οὐ χειμῶνος ἄκρω Buttm. gr. Gr. §. 119, 6. 4. (V. 58.). — V. 41. ἀμνοφόρως· γὰρ, ἀμνίδας καὶ βρέφη φέρουσας. ἢ Μαννοφόρως. γράφεται γὰρ ἐν τισὶ καὶ οὕτω. Μάννος δέ ἐστιν ὁ περιτραχήλιος κόσμος (Halsschmuck) τὸ λεγόμενον μαννάκιον; vergl. Ovid. Metam. X, 112, wo der Hirsch des Cyparissus mit einem Halsbande geziert ist. — V. 42. ἄμμε §. 28, A. Virg. Eclog. IX, 39—43. Hom. Odyss. IX, 182 sqq. — V. 43. ὀρεχθῆν V. 4. — V. 45. ἐντί II, 2, 62. — V. 48. προΐητι, §. 36, 4. — V. 49. zu ἕλοιτο denke μᾶλλον, was sehr oft dabey steht; daher τῶνδε. — V. 50. Diesen Vers wollte Hemsterhuis nach V. 33. setzen, als hier den Zusammenhang störend; aber das folgende (51) ξύλα und πῦρ paßt recht wohl, nehmlich, um ihm die rauhen Haare abzusengen; ἀνεχοίμαν (sc. ἄν) καιόμενος Matth. gr. Gr. §. 549.

Καὶ τὸν ἕν᾽ ὀφθαλμὸν, τῶ μοι γλυκερώτερον οὐδέν.
Ὤιμοι, ὅτ᾽ οὐκ ἔτεκέν μ᾽ ἁ μάτηρ βράγχι᾽ ἔχοντα,
Ὡς κατέδυν ποτὶ τὶν, καὶ τὰν χέρα τεῦς ἐφίλασα,
Αἰ μὴ τὸ στόμα λῆς· ἔφερον δέ τοι ἢ κρίνα λευκὰ,
Ἢ μάκων᾽ ἁπαλὰν ἐρυθρὰ πλαταγώνι᾽ ἔχοισαν.
Ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι·
Ὥστ᾽ οὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ᾽ ἐδυνάθην.
Νῦν μὰν, ὦ κόριον, νῦν αὐτόθι νεῖν γε μαθεῦμαι,
Αἴκά τις σὺν ναΐ πλέων ξένος ὧδ᾽ ἀφίκηται,
Ὥς κεν ἴδω, τί ποθ᾽ ἁδὺ κατοικῆν τὸν βυθὸν ὔμμιν.
Ἐξένθοις, Γαλάτεια, καὶ ἐξενθοῖσα λάθοιο
(Ὥςπερ ἐγὼν νῦν ὧδε καθήμενος) οἴκαδ᾽ ἀπενθεῖν·
Ποιμαίνειν δ᾽ ἐθέλοις σὺν ἐμὶν ἅμα, καὶ γάλ᾽ ἀμέλγειν,
Καὶ τυρὸν πᾶξαι, τάμισον δριμεῖαν ἐνεῖσα.
Ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
Οὐδὲν πᾷ ποχ᾽ ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπὲρ μεῦ,
Καὶ ταῦτ᾽, ἆμαρ ἐπ᾽ ἆμαρ ὁρεῦσά με λεπτὸν ἐόντα.
Φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ
Σφύσδειν, ὡς ἀνιαθῇ, ἐπεὶ κἠγὼν ἀνιῶμαι.
Ὦ Κύκλωψ, Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;

— V. 53. τῶ f. οὗ §. 29, 1. — V. 54. u. 55. ὅτ᾽ οὐκ ἔτεκεν — ὡς (ἵνα) κατέδυν, nur eine andere Form für εἰ μάτηρ μ᾽ ἔτεκεν βρ. ἐχ., κατέδυν ἂν π. τ. daher die beyden Indicative; Fall der **Unmöglichkeit** Buttm. gr. Gr. §. 126, 9, 3. — V. 57. πλαταγώνια. τὰ τῆς μήκωνος φύλλα φησὶ, καὶ τὰ τῆς ἀνεμώνης, ἀπὸ τοῦ πλάσσειν, ὅ ἐςι ψοφεῖν. τιθέντες γὰρ αὐτὰ κατὰ τὸν ἀντίχειρα καὶ τὸν λιχανὸν δάκτυλον, τίπτουσι τῇ ἑτέρᾳ χειρὶ, καὶ οὕτω σημειοῦνται, εἰ ἀγαπῶνται ὑπὸ τῶν ἐρωμένων. ὥσπερ καὶ ἀπὸ τοῦ τῆς πλαταγῶνος ψόφου, εἰ ἀψόφως ἐπικρουσθείη. — V. 60. μαθεῦμαι, wie φασῶ V. 70, §. 33, A, 5. — V. 68. gew. ὑπὲρ μευ. Pronomina mit Präsitionen enklitisch zu verbinden, ist sehr selten auch bey Dichtern. — V. 69. ὁρεῦσα §. 63, 4. — λεπτὸν Matth. gr. Gr. §. 448, §. 457, Anm. 1. auch bey Homer so der Positiv. Die Komparation liegt in ἆμαρ ἐπ᾽ ἆμαρ. — V. 72. φρένας (Buttm. gr. Gr. §. 118, 5.) ἐκπεπότασαι, wie sonst auch ἐκπέπληγμαι gebraucht wird. Odyss. XVIII, 326. σύ γέ τις φρένας ἐκπεπαταγμένος ἐσσί. Quint. Calaber VII, 261. ποῖ δὴ νῦν σοι ἐΰς νόος ἐκπεπότηται — Sophocl. Oed. T. 154. ἐκτέταμαι φοβερὰν φρένα. Vergl. Virg. Eclog. II, 69.

Αἴκ᾽ ἐνθὼν ταλάρως τε πλέκοις, καὶ θαλλὸν ἀμάσας
Ταῖς ἄρνεσσι φέροις, τάχα κεν πολὺ μᾶλλον ἔχοις νοῦν.
Τὰν παρεοῖσαν ἄμελγε· τί τὸν φεύγοντα διώκεις;
Εὑρήσεις Γαλάτειαν ἴσως καὶ καλλίον᾽ ἄλλαν.
Πολλαὶ συμπαίσδεν με κόραι τὰν νύκτα κέλονται,
Κιχλίσδοντι δὲ πᾶσαι, ἐπεί κ᾽ αὐταῖς ὑπακοίσω.
Δηλονότ᾽ ἐν τᾷ γᾷ κἠγὼν τὶς φαίνομαι ἦμες.
  Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα
Μουσίσδων· ῥᾷον δὲ διᾶγ᾽, ἢ χρυσὸν ἔδωκεν.

No. 2. ΔΑΜΟΙΤΑΣ ΚΑΙ ΔΑΦΝΙΣ.

Δαμοίτας καὶ Δάφνις ὁ βωκόλος εἰς ἕνα χῶρον
Τὰν ἀγέλαν ποκ᾽, Ἄρατε, συνάγαγον· ἦς δ᾽ ὁ μὲν αὐτῶν
Πυῤῥὸς, ὁ δ᾽ ἡμιγένειος· ἐπὶ κράναν δέ τιν᾽ ἄμφω
Ἑσδόμενοι θέρεος μέσῳ ἄματι τοιάδ᾽ ἄειδον.
Πρᾶτος δ᾽ ἄρξατο Δάφνις, ἐπεὶ καὶ πρᾶτος ἔρισδεν.

— V. 75. τὰν παρεοῖσαν (αἶγα, oder ὄϊν); sprichwörtlich bey den Hirten, sinnverwandt mit ἐξαρκέων (τ. παροῦσι) κτέατεσσι Pind. ol. C, 2, 24. — V. 79. τὶς mit Nachdruck. — V. 81. ἢ sc. εἰ, welches vorzüglich nach dem doppelten ἢ oft ausgelassen wird. Odyss. IV, 117. Iliad. II, 309. Andere fügen εἰ dem Texte ein; als Synizese mit ἢ. —

No. 2. Theocr. Id. 6. — Polyphem auf einem Felsen, in die Meeresweite schauend; Galatea durch Neckereien die Blicke des scheinbar spröden auf sich ziehend. — Daphnis führt in seinem Liede dem Polyphem die Liebesneckereien der Galatea vor, Damötas verweist sie in der Person des Kyklopen, auf seine Schönheit sich stützend, um der früher Unempfänglichen Gleiches mit Gleichem zu vergelten.

V. 1. 2. Virg. Eclg. VII, 2. compulerantque greges Corydon et Thyrsis in unum. — Ἄρατε, οὗ καὶ μέμνηται ἐν Θαλυσίοις (Id. 7.) καὶ ἀλλαχοῦ. Δύναται δὲ οὗτος εἶναι ὁ τῶν Φαινομένων ποιητής. — συνάγαγον vorh. No. 1, 7. ἦς (V. 35.) §. 37, II. Imperf. gehört wohl zu den ländlichen Dialectformen. — V. 4. ἑσδόμενοι oben No. 1, 9. —

ΔΑΦΝΙΣ.

Βάλλει τοι, Πολύφαμε, τὸ ποίμνιον ἁ Γαλάτεια
Μάλοισιν, δυςέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα·
Καὶ τύ νιν οὐ ποθόρησθα τάλαν, τάλαν, ἀλλὰ κάθησαι
Ἀδέα συρίσδων. πάλιν ἅδ', ἴδε, τὰν κύνα βάλλει,
Ἅ τοι τᾶν οἴων ἕπεται σκοπός· ἁ δὲ βαΰσδει
Εἰς ἅλα δερκομένα· τὰ δὲ νιν καλὰ κύματα φαίνει
Ἅσυχα καχλάζοντος ἐπ' αἰγιαλοῖο θέοισαν.
Φράζεο, μὴ τᾶς παιδὸς ἐπὶ κνάμαισιν ὀρούσῃ
Ἐξ ἁλὸς ἐρχομένας, κατὰ δὲ χρόα καλὸν ἀμύξῃ.
Ἁ δὲ καὶ αὐτόθε τοι διαθρύπτεται, ὡς ἀπ' ἀκάνθας
Ταὶ καπυραὶ χαῖται, τὸ καλὸν θέρος ἁνίκα φρύττει·
Καὶ φεύγει φιλέοντα, καὶ οὐ φιλέοντα διώκει·
Καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον· ἦ γὰρ ἔρωτι

— V. 6. 7. βάλλει. πειρᾶται δὲ εἰς ἔρωτα ὑπαγαγέσθαι. siehe vorh. No. 1, 10. vergl. Id. 5, 88. βάλλει καὶ μάλοισι τὸν αἰπόλον. — δυσέρωτα im Gegensatz von No. 1, 3. ἤρατο τᾶς Γαλατείας. ἤγουν μὴ εἰδότα ἐρᾶν (eum, qui aegre ad amorem excitatur). — V. 8. ποθόρησθα §. 34, B, 3. — V. 10. βαΰσδει. τὸ βαΰζειν, ἐπὶ τῶν σκυλακίων λέγεται κυρίως, ἐπὶ δὲ τῶν τελείων κυνῶν, τὸ ὑλακτεῖν λέγουσιν· ὥςε τὸ βαΰσδει ἐνταῦθα, ἀντὶ τοῦ ὑλακτει λέγεται. — V. 12. καχλάζοντος; Brunk καχλάσδοντος. al. καχλάζοντα, den Genit. hat auch der Scholiast. — θέοισαν siehe No. 1, 26. αἰγιάλοιο gewöhnliche epische Form §. 49, 1. — V. 13. φράζεο ion. Form §. 35, 1. dor. φράσδεο. — V. 15. αὐτόθε, wie τουτόθε und τουτῶθεν §. 38, A, 3. od. No. 1, 60. διαθρύπτεται. διὰ durch, hat hier nicht die Bedeutung des Wetteiferns, wie διαείσομαι, Id. 5, 22. i. e. ᾄδων ἐρίσω; sondern sich zer-reiben = quälen vor Liebe überhaupt. Die folgende Vergleichung bestimmt die Bedeutung genau: Wie die leichten Distelköpfe jeder Bewegung der Luft nachgeben, dem Fassenden weichen, dem Weichenden nachfliegen, so verfolgt die launische Nymphe scheinbar den spröden Kyklopen. — V. 18. τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον. παροιμία· καὶ πάντα τρόπον ποιεῖ, ἢ κινεῖ τυχεῖν σου. Ἄλλως. ἡ δὲ λέξις μεταφορικῶς ἀπὸ τῶν παιζόντων τὸ κοινολέκτως ζατρίκιον (Schachspiel). ἐκεῖνοι γὰρ ὅταν πολλὰ ποιήσαντες οὐ δύνανται ἑτέρως νικῆσαι τὸν ὅμοιον παίκτορα, κινοῦσι καὶ τὸν ἀπὸ γραμμῆς λίθον, τὸν οὕτω βασιλέα καλούμενον. Das griechische Bretspiel (πεττεία) hatte 5 Linien mit eben so viel Steinen für jeden Spieler und

Πολλάκις, ὦ Πολύφαμε, τὰ μὴ καλὰ καλὰ πέφανται.
Τῷ δ' ἔπι Δαμοίτας ἀνεβάλλετο καλὸν ἀείδεν.

ΔΑΜΟΙΤΑΣ.

Εἶδον, ναὶ τὸν Πᾶνα, τὸ ποίμνιον ἁνίκ' ἔβαλλε,
Κοὔ μ' ἔλαθ', οὐ τὸν ἐμὸν τὸν ἕνα γλυκύν, ᾧ ποθόρημι
Ἐς τέλος· αὐτὰρ ὁ μάντις ὁ Τήλεμος, ἐχθρ' ἀγορεύων,
Ἐχθρὰ φέροιτο ποτ' οἶκον, ὅπως τεκέεσσι φυλάξῃ.
Ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίσδων πάλιν οὐ ποθόρημι,
Ἀλλ' ἄλλαν τινὰ φαμὶ γυναῖκ' ἔχεν. ἃ δ' ἀΐοισα
Ζαλοῖ μ', ὦ Παιὰν, καὶ τάκεται· ἐκ δὲ θαλάσσας
Οἰστρεῖ παπταίνοισα ποτ' ἄντρά τε καὶ ποτὶ ποίμνας.
Σῖγα δ' ὑλακτεῖν νιν καὶ τᾷ κυνί· καὶ γὰρ, ὅκ' ἤρων
Αὐτᾶς, ἐκνυζῆτο ποτ' ἰσχία ῥύγχος ἔχοισα.
Ταῦτα δ' ἴσως ἐσορεῦσα ποιεῦντά με πυλλάκι πεμψεῖ
Ἄγγελον. αὐτὰρ ἐγὼ κλαξῶ θύρας, ἔςε κ' ὀμόσσῃ
Αὐτά μοι στορέσειν καλὰ δέμνια τᾶσδ' ἐπὶ νάσω.
Καὶ γάρ θην οὐδ' εἶδος ἔχω κακὸν, ὥς με λέγοντι.

eine elfte in der Mitte, die heilige genannt, von welcher der Spieler nur zog, wenn er aufs äußerste gebracht war. Daher diese Redensart so viel, als: zu den letzten Mitteln greifen, aufs Aeußerste gebracht seyn. — V. 20. Dieselben Worte Odyss. I, 155. *ἀείδεν*, wie V. 26. *ἔχεν*, oben No. 1, 38. §. 34, E, 1, c. — V. 23. *Τήλεμος.* *οὗτός ἐςιν ὁ Τήλεμος, ὁ παρ' Ὁμήρῳ* (Odyss. IX, 508. *ἔσκε τις ἐνθάδε μάντις ἀνὴρ ἠΰς τε μέγας τε Τήλεμος Εὐρυμίδης.*) *Εὐρυμέδης ἢ Εὐρύμαχος καλούμενος, ὅς μαντοσύνῃ ἐκέκαστο. ὅς ἐμαντεύσατο αὐτῷ, ὑπὸ τῶν χειρῶν Ὀδυσσέως τυφλωθῆναι.* — V. 26. *ἔχεν* §. 34, E, 1, c, ob. No. 1, 38 — V. 29. *σῖγα — τᾷ κυνί·* Die Schwierigkeiten dieser Lesart lösen sich, wenn man mit Voß verbessert: *σιξῶ δ' ὑλακτεῖν* rc. wo dann das Fut. in gleicher Beziehung, wie die folgenden Futura *πεμψεῖ* und *κλαξῶ*, steht. *σίττα* (No. 3, 69.) war der Zuruf der Schäfer an die Hunde zum Bellen; *σίττειν* durch Zischen, Bsten zurufen. — V. 30. *ῥύγχος ἔχοισα ἐκνυζῆτο* (§. 34, A, 2.), *ἔσαινε καὶ κατεθώπευε, τὸ ςόμα ἔχουσα ἀνάμεσον τῶν ἰσχίων αὐτῆς. κνηζυθμὸς λέγεται ἡ τῶν κυνῶν ἄσημος ὑλακή. τὸ δὲ ῥύγχος καταχρηςικῶς ἐπὶ τῆς κυνὸς νῦν λέγεται. κυρίως γὰρ ἐπὶ ὀρνέων.* — V. 31. *ἐσορεῦσα, ποιεῦντα* oben No. 1, 69. *πεμψεῖ, κλαξῶ* f. *κλασῶ* dor. f. *κλείσω* oben No. 1, 60. — V. 34. Virg. Eclog. II, 25: Nec sum adeo informis: nuper me in littore vidi, quum

Ἦ γὰρ πρᾶν ἐς πόντον ἐσέβλεπον (ἦς δὲ γαλάνα)
Καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δ' ἐμὶν ἁ μία κώρα
(Ὡς παρ' ἐμὶν κέκριται) κατεφαίνετο· τῶν δὲ τ' ὀδόντων
Λευκοτέραν αὐγὰν Παρίας ὑπέφαινε λίθοιο.
Ὡς μὴ βασκανθῶ δὲ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον·
Ταῦτα γὰρ ἁ γραία με Κοτυτταρὶς ἐξεδίδαξεν·
Ἃ πρᾶν ἀμάντεσσι παρ' Ἱπποκόωντι ποταύλει.
Τόσσ' εἰπὼν τὸν Δάφνιν ὁ Δαμοίτας ἐφίλασε·
Χὠ μὲν τῷ σύριγγ', ὁ δὲ τῷ καλὸν αὐλὸν ἔδωκεν.
Αὔλει Δαμοίτας, σύρισδε δὲ Δάφνις ὁ βώτας·
Ὠρχεῦντ' ἐν μαλακᾷ ταὶ πόρτιες αὐτίκα ποίᾳ·
Νίκη μὰν οὐδ' ἄλλος, ἀνάσσατοι δ' ἐγένοντο.

No. 3. ΔΑΦΝΙΣ ΜΕΝΑΛΚΑΣ ΚΑΙ ΑΙΠΟΛΟΣ.

Δάφνιδι τῷ χαρίεντι συνήντετο βωκολέοντι
Μᾶλα νέμων, ὡς φαντὶ, κατ' ὤρεα μακρὰ Μενάλκας.

placidum ventis staret mare. Ovid. Metam. XIII, 840, 41, 8. θήν i. e. δή. — λέγοντι II, No. 1. V. 48. — V. 35. πρᾶν No. 3, 33. §. 11, 1. — V. 38. ὑπέφαινε, das Subject ist aus V. 35. zu nehmen. — V. 39. ἔπτυσα. τὸ νεμεσητὸν ἐκτρεπόμενος, das gewöhnliche Mittel, sich gegen bedenkliche Erscheinungen und Zaubereien zu verwahren. — V. 41. Dieser Vers schien einigen verdächtig, vorzüglich auch, weil er Id. 10, 16. steht. Ἱπποκόωντι, τῷ ποταμῷ — ἢ παρ' Ἱπποκίωνι (διχῶς γὰρ γράφεται ἐν τοῖς ἀντιγράφοις). — V. 43. σύριγξ, die vom Pan erfundene Pfeife aus mehreren an einander gefügten Rohren; αὐλός die Schalmeie. — V. 26. νίκη (V. 30.) §. 32, B, 2. —

No. 3. Theocr. Id. 8 Die beyden folgenden Stücke stellen den vorhergehenden komischen ein Bild des ernstern Sicilischen Hirtenlebens gegenüber, wo Götter und Menschen sich freundlich begegnen; daher auch der Dialog selbst einen angemessen höhern poetischen Gang nimmt. Sie haben den Daphnis zum Gegenstande, der in einer Reihe ähnlicher Idyllen besungen wird, dessen Geschichte aber im Dunkel schwebt Er blieb, so viel ist deutlich zu erkennen, im lebendigen Andenken seiner Mit- und Nachwelt und seine Freuden, wie seine Leiden, waren Lieblingsgesänge der Hirten. —

Ἄμφω τώγ᾽ ἤτην πυῤῥοτρίχω, ἄμφω ἀνάβω,
Ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν.
Πρᾶτος δ᾽ ὦν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας·

ΜΕΝΑΛΚΑΣ.

Μυκητᾶν ἐπίουρε βοῶν Δάφνι, λῆς μοι ἀεῖσαι;
Φαμί τυ νικασεῖν ὅσσον θέλω αὐτὸς ἀείδων.
Τὸν δ᾽ ἄρα χὼ Δάφνις τοιῷδ᾽ ἀπαμείβετο μύθῳ·

ΔΑΦΝΙΣ.

Ποιμὰν εἰροπόκων οἴων συρικτὰ Μενάλκα,
Οὔποτε νικασεῖς μ᾽, οὐδ᾽ εἴτι πάθοις τύ γ᾽ ἀείδων.

ΜΕΝΑΛΚΑΣ.

Χρῄσδεις ὦν ἐςιδεῖν, χρῄσδεις καταθεῖναι ἄεθλον;

ΔΑΦΝΙΣ.

Χρῄσδω τοῦτ᾽ ἐςιδεῖν, χρῄσδω καταθεῖναι ἄεθλον.

ΜΕΝΑΛΚΑΣ.

Ἀλλὰ τὶ θησεύμεσθ᾽, ὅ κεν ἁμῖν ἄρκιον εἴη;

ΔΑΦΝΙΣ.

Μόσχον ἐγὼ θησῶ· τὺ δὲ θές γ᾽ ἰσομάτορα ἀμνόν.

ΜΕΝΑΛΚΑΣ.

Οὐ θησῶ ποκα ἀμνόν· ἐπεὶ χαλεπός θ᾽ ὁ πατήρ μευ
Χ᾽ ἁ μάτηρ· τὰ δὲ μᾶλα ποθέσπερα πάντ᾽ ἀριθμεῦντι.

Der Schäfer Menalkas und der Rinderhirt Daphnis halten einen Wettgesang; dem Sieger soll eine neunstimmige Flöte zu Theil werden. Ein Ziegenhirt soll entscheiden. — V 1. βωκολέοντι vergl. No. 2, 13. — V. 2. φαντί No. 1, 45. No. 2, 34. — V. 3. ἀνάβω. ἤγουν ἀτελεῖς ἔτι τὴν ἡλικίαν. ἔνηβοι γὰρ οἱ πεντεκαιδεκαετεῖς καὶ πoῤῥωτέρω. ἄνηβοι δὲ οἱ δωδεκαετεῖς καὶ κατωτέρω. — V. 4. δεδαημένω, sonst noch epische Form — συρίδδεν — ἀείδεν No. 2, 20. Virg. Eclg. VII, 4. 5. — V. 7. νικασεῖν oben C. 2, 8. — τύ, No. 1, 5. auch τέ f. σέ nur Theokr. aber Pind. τίν. — V. 8. ἀπαμείβετο No. 2, 46. V. 9. συρικτὰ §. 33, D. — V. 10. οὐδ᾽ εἴτι (al. αἴτι) πάθοις, οὐδ᾽ εἰ διαῤῥαγείης ᾄδων und wenn du zu Tode dich sängest. — V. 11. χρῄσδεις ὦν ἐσιδεῖν, gewöhnlich χρῄσδεις δ᾽ ὦν ἐσ. sc. τοῦτο nach V. 12. vergl. Virg. Eclg. III, 28 sqq. — V. 13. θησεύμεσθα No. 1, 60. §. 35, 2. — V. 15. 16. μευ — ἀριθμεῦντι §. 11, 4. — χ᾽ ἁ §. 16, b. —

ΔΑΦΝΙΣ.

Ἀλλὰ τί μὰν θησεῖς; τί δὲ τὸ πλέον ἑξεῖ ὁ νικῶν;

ΜΕΝΑΛΚΑΣ.

Σύριγγ', ἃν ἐποίησα καλὰν ἐγὼ ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν,
Ταύταν κατθείην· τὰ δὲ τῶ πατρὸς οὐ καταθησῶ.

ΔΑΦΝΙΣ.

Ἦ μάν τοι κἠγὼ σύριγγ' ἔχω ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν; ἴσον κάτω, ἶσον ἄνωθεν.
Πρώαν νιν συνέπαξ'· ἔτι καὶ τὸν δάκτυλον ἀλγῶ
Τοῦτον, ἐπεὶ κάλαμός γε διασχισθεὶς διέτμαξεν.
Ἀλλὰ τίς ἄμμε κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἀμέων;

ΜΕΝΑΛΚΑΣ.

Τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον ἦν καλέσωμες,
Ὧι ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φαλαρὸς ὑλακτεῖ.
Χ' οἱ μὲν παῖδες ἄϋσαν, ὁ δ' αἰπόλος ἦνθ' ἐπακούσας·
Χ' οἱ μὲν παῖδες ἄειδον, ὁ δ' αἰπόλος ἤθελε κρίναι.
Πρᾶτος δ' ὦν ἄειδε λαχὼν ἰϋκτὰ Μενάλκας.
Εἶτα δ' ἀμοιβαίην ὑπελάμβανε Δάφνις ἀοιδὰν
Βωκολικάν· οὕτω δὲ Μενάλκας ἄρξατο πρᾶτος·

ΜΕΝΑΛΚΑΣ.

Ἄγκεα καὶ ποταμοὶ, θεῖον γένος, αἴ τι Μενάλκας
Πᾷ ποχ' ὁ συρικτὰ προσφιλὲς ᾆσε μέλος,
Βόσκοιτ' ἐκ ψυχᾶς τὰς ἀμνίδας· ἢν δέ ποκ' ἔνθῃ
Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.

ΔΑΦΝΙΣ.

Κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτὸν, αἴπερ ὁμοῖον
Μουσίσδει Δάφνις ταῖσιν ἀηδονίσι,
Τοῦτο τὸ βωκόλιον πιαίνετε· κἤν τι Μενάλκας
Τῇδ' ἀγάγῃ, χαίρων ἄφθονα πάντα νέμοι.

— V. 18. Virg. Eclog. II, 36. — V. 33. ἀλγῶ Brunk die uncontrahirte ἀλγέω, wie V. 25. ἀμέων (Synizese); Form ist dem jüngern Dorismus gewöhnlicher. — V. 26. καλέσωμες V. 13. — V. 27. φαλαρὸς λευκὸς καὶ Ὅμηρος κύματα φαληριόωντα λέγει Iliad. 13, 799. — V. 30. ἰϋκτά oben V. 9. — V. 33. θεῖον γένος. τὸ τῶν ποταμῶν λέγει, καθὸ ἐκ Τηθύος καὶ Ὠκεανοῦ ἢ ἐκ Διὸς, ὡς Ὅμηρος. Virg. Ecl. VII, 45 sqq. — V. 38. μουσίσδει, gew. μουσίσδοι. — V. 40. gew. ἀγάγοι, vgl. V. 47. für τῇδε hat ein Kodex das seltnere τεῖνδε. §. 38, A, 3.

ΜΕΝΑΛΚΑΣ.

Παντᾶ ἔαρ, παντᾶ δὲ νομοὶ, παντᾶ δὲ γάλακτος
Οὔθατα πλήθουσιν, καὶ τὰ νέα τρέφεται,
Ἔνθ' ἁ καλὰ παῖς ἐπινίσσεται· αἰ δ' ἂν ἀφέρπῃ,
Χὠ ποιμὰν ξηρὸς τηνόθι, χ' αἱ βοτάναι.

ΔΑΦΝΙΣ.

Ἔνθ' ὄϊς, ἔνθ' αἶγες διδυματόκοι, ἔνθα μέλισσαι
Σμάνεα πληροῦσιν, καὶ δρύες ὑψίτεραι,
Ἔνθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἰ δ' ἂν ἀφέρπῃ
Χὠ τὰς βῶς βόσκων, χ' αἱ βόες αὐότεραι.

ΜΕΝΑΛΚΑΣ.

Ὦ τράγε, τᾶν λευκᾶν αἰγᾶν ἄνερ, ὦ βάθος ὕλας
Μυρίον, ὦ σιμαὶ δεῦτ' ἐφ' ὕδωρ ἔριφοι.
Ἐν τήνῳ γὰρ τῆνος· ἴθ' ὦ κόλε, καὶ λέγε Μίλων',
Ὡς Πρωτεὺς φώκας, καὶ θεὸς ὤν, ἔνεμε.

ΔΑΦΝΙΣ.

Μή μοι γᾶν Πέλοπος, μή μοι χρύσεια τάλαντα
Εἴη ἔχεν, μηδὲ πρόσθε θέειν ἀνέμων·
Ἀλλ' ὑπὸ τᾷ πέτρᾳ τᾷδ' ᾄσομαι ἀγκὰς ἔχων τυ,

— V. 41 sqq. Virg. Ecl. VII, 53 sqq. *παντᾶ* §. 39. II, c, 3. *ξηρὸς* im Gegensatz von *οὔθατα πλήθοντι* u. *τρέφεται*, wie V. 48 *αὐότεραι*, lechzend, schmachtend. — V. 49 — 52. wird von Einigen dem Daphnis beygelegt und V. 53 bis 56. dem Menalkas, weil darin der Freund des Milon spricht; doch wird diese Umtauschung durch keine Handschrift bestätigt. Andere suchen durch andere Umsetzungen zu helfen — V. 49. *ὦ βάθος*, al. *ὦ β.* i. e. *ὅπου*, wie auch der Scholiast: *ὅπου ἐςὶν ὑψηλὴ δασύτης*. V. 51. *Μίλων'* am Ende des Verses mit Apostroph, wie Iliad. XIV, 265. *Ζῆν' Ὡς*. — V. 52. *Πρωτεύς*, der bekannte wahrsagende Meergott, der sich in verschiedene Körper verwandeln konnte. Odyss. IV, 384 etc. — V. 53. *χρύσεια τάλαντα* Pierson u. Brunck *Κροίσοιο ταλ.*, dem Genit. *Πέλοπος* entsprechend. Id. 10, 32. — V. 55. *ᾄσομαι*; man erwartet wieder einen Optativ, das Futurum ergänzt ihn, da jeder Wunsch in der Zukunft liegt. So wechseln im Homer oft Conjunctiv und Futurum und in der Prosa tritt vorzüglich der Optativ mit *ἂν* häufig an die Stelle des Futuri und umgekehrt. Herod. IV, 97 *ἕψομαί τοι καὶ οὐκ ἂν λειφθείην*. 11, 41. *τύ*, wie oben V. 7.

* pag. 80 V. 31. l. *ὑπελάμβανε* f. *ἠπελ.*

Σύννομα μᾶλ' ἐςορῶν, τὰν Σικελὰν ἐς ἅλα.

ΜΕΝΑΛΚΑΣ.

Δένδρεσι μὲν χειμὼν φοβερὸν κακὸν, ὕδασι δ' αὐχμὸς,
Ὄρνισιν δ' ὕσπλαγξ, ἀγροτέροις δὲ λίνα·
Ἀνδρὶ δὲ παρθενικᾶς ἁπαλᾶς πόθος. ὦ πάτερ, ὦ Ζεῦ,
Οὐ μόνος ἠράσθην· καὶ τὺ γυναικοφίλας.
Ταῦτα μὲν ὦν δι' ἀμοιβαίων οἱ παῖδες ἄεισαν.
Τὰν πυμάταν δ' ᾠδὰν οὕτως ἐξᾶρχε Μενάλκας·

ΜΕΝΑΛΚΑΣ.

Φείδευ τᾶν ἐρίφων, φείδευ, λύκε, τῶν τοκάδων μευ,
Μηδ' ἀδίκει μ', ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτέω.
Ὦ Λάμπουρε κύων, οὕτω βαθὺς ὕπνος ἔχει τυ;
Οὐ χρὴ κοιμᾶσθαι βαθέως σὺν παιδὶ νέμοντα.
Ταὶ δ' ὄϊες, μηδ' ὔμμες ὀκνεῖθ' ἁπαλᾶς κορέσασθαι
Ποίας· οὔτι καμεῖσθ', ὅκκα πάλιν ἅδε φύηται.
Σίττα νέμεσθε, νέμεσθε· τὰ δ' οὔθατα πλήσατε πᾶσαι,
Ὡς τὸ μὲν ὥρνες ἔχωντι, τὸ δ' ἐς ταλάρως ἀπόθωμαι.
Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀείδεν.

ΔΑΦΝΙΣ.

Κἄμ' ἐκ τῶ ἄντρω σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα
Τᾶς δαμάλας παρελεῦντα, καλὸν καλὸν ἦμες ἔφασκεν·
Οὐ μὰν οὐδὲ λόγον ἐκρίθην ἄπο τὸν πικρὸν αὐτᾷ,
Ἀλλὰ κάτω βλέψας τὰν ἁμετέραν ὁδὸν εἷρπον.
Ἁδεῖ' ἁ φωνὰ τᾶς πόρτιος, ἁδὺ τὸ πνεῦμα·
Ἁδὺ δὲ χὠ μόσχος γαρύεται, ἁδὺ δὲ χ' ἁ βῶς·
Ἁδὺ δὲ τῶ θέρεος παρ' ὕδωρ ῥέον αἰθριοκοιτῆν·
Τᾷ δρυῒ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα·
Τᾷ βοῒ δ' ἁ μόσχος, τῷ βωκόλῳ αἱ βόες αὐταί.

— V. 57. Virg. Ecl. III, 80. 81. Andere setzen hinter φοβερόν ein Kolon; für ὕδασι findet sich auch οὔδασι, Valck. οὔθασι. — V. 60. wahrscheinlich fehlt hier das Gegenlied, das Virg. Ecl. III, 82. 83. vor sich gehabt zu haben scheint, — V. 64. μικκὸς II, 2. 68. — V. 70. ἐς ταλάρως, um die Käse darin einzuschlagen Id. 5, 86. ὥρνες oben No. 1, 7. — V. 74. οὐ μὰν οὐδὲ (Buttm. gr. Gr. §. 135, 6. Iliad. β, 203.) λόγον Schol. λόγων. γράφεται καὶ λόγον, οὐ μὲν ἀπεκρίθην αὐτῇ, ἀντὶ τοῦ ἀπεκρινάμην. — V. 77. wird von Einigen, weil er Id. IX, 7. steht und hier die Gleichheit der Verszahl stört, weggelassen. — V. 78. 79. Virg. Ecl. V, 32. —

Ὣς οἱ παῖδες ἄεισαν, ὁ δ᾽ αἰπόλος ὧδ᾽ ἀγόρευεν.

ΑΙΠΟΛΟΣ.

Ἁδύ τι τὸ στόμα τοι, καὶ ἐφίμερος, ὦ Δάφνι, φωνά·
Κρέσσον μελπομένω τεῦ ἀκουέμεν ἢ μέλι λείχεν.
Λάσδεο τᾶς σύριγγος· ἐνίκησας γὰρ ἀείδων.
Αἰ δέ τι λῇς με καὶ αὐτὸν ἅμ᾽ αἰπολέοντα διδάξαι,
Τήναν τὰν μιτύλαν δωσῶ τὰ δίδακτρά τοι αἶγα,
Ἅτις ὑπὲρ κεφαλᾶς αἰεὶ τὸν ἀμολγέα πληροῖ.
Ὡς μὲν ὁ παῖς ἐχάρη, καὶ ἀνάλατο, καὶ πλατάγησε
Νικήσας· οὕτως ἐπὶ ματέρα νεβρὸς ἅλοιτο.
Ὡς δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπα
Ὥτερος· οὕτω καὶ νύμφα γαμηθεῖσ᾽ ἀκάχοιτο.
Κὴκ τούτω Δάφνις παρὰ ποιμέσι πρᾶτος ἔγεντο,
Καὶ νύμφαν, ἄκρηβος ἐὼν ἔτι, Ναΐδα γᾶμεν.

— V. 82. ἁδύ τι vergl. No. 4, 1. — V. 83. κρέσσον §. 54, 4, b. ἀκουέμεν §. 34, E, 1, b. — V. 87. ὑπὲρ κεφαλᾶς, ἀντὶ τοῦ, ἐπέκεινα τῶν χειλέων· ἢ ἕως τῆς κεφαλῆς. — V. 91. Dem fehlerhaften Metrum wurde theils durch die Lesart ὡς für οὕτω, theils durch γαμεθεῖσ᾽ f. γαμηθεῖσ᾽ nachgeholfen; aber in νύμφα ist α lang. γαμεθεῖσ᾽ ist zulässig nach einer Bemerkung des Cod. c. wie ἐποιέθην und ποιεθεῖσα §. 81, A, 1, b. f. ἐποιήθην, ποιηθεῖσα. Cod. August. νύμφη γαμευθεῖσ᾽. — Die Neuvermählte betrauert als Gattin den Verlust ihrer frühern jungfräulichen Unbefangenheit. Es liegt darin das Gefühl des Gebunden- und Ueberwundenseyns, wie in der Niedergeschlagenheit des besiegten Knaben; daher ist keine Verbesserung nöthig, wie Dahl will: οὕτω καὶ νύμφα γαμβρῷ ἀκάχοιτο. — V. 92. ἔγεντο f. ἐγένετο, ununterschieden von dem Homerischen γέντο i. e. ϝέλετο (εἵλετο) ϝέλτο, §. 13. A, d, 1. γέντο, ἔλαβεν. — V. 93. Ναΐδα. Ἱστοροῦσι γὰρ αὐτὸν ἀγαπηθῆναι ὑπό τινος νύμφης, ἣν Σωσίθεος Θάλειαν καλεῖ. παρακελευσαμένης δὲ αὐτῷ ἄλλῃ γυναικὶ μὴ ὁμιλεῖν, μὴ τηρῆσαι τὴν παραίνεσιν αὐτῆς. ὅθεν ὁ μὲν Θεόκριτός φησι τὴν νύμφην ἀποστῆναι αὐτοῦ· αὐτὸν δὲ ἀντιμεταβαλόντα τὸν ἐκείνης ἔρωτα, ὑπὸ λύπης μεταλλάξαι τὸν βίον. Aus V. 92 u. 93. schließt man mit Recht, daß Daphnis nicht den Knaben Milon (V. 47.), sondern ein Mädchen geliebt habe; daher auch derselbe Milon für den Ziegenhirten, dem die Entscheidung übertragen war, gehalten wird. S. unten 4, 19. —

No. 4. ΘΥΡΣΙΣ ΠΟΙΜΗΝ ΚΑΙ ΑΙΠΟΛΟΣ.

ΘΥΡΣΙΣ.

Ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα
Ἁ ποτὶ ταῖς παγαῖσι μελίσδεται· ἁδὺ δὲ καὶ τὺ
Συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.
Αἴκα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ.
Αἴκα δ᾽ αἶγα λάβῃ τῆνος γέρας, ἐς τὲ καταῤῥεῖ
Ἁ χίμαρος· χιμάρῳ δὲ καλὸν κρέας, ἔςε κ᾽ ἀμέλξῃς.

ΑΙΠΟΛΟΣ.

Ἅδιον, ὦ ποιμὰν, τὸ τεὸν μέλος, ἢ τὸ καταχὲς
Τῆν᾽ ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.
Αἴκα ταὶ Μῶσαι τὰν οἴϊδα δῶρον ἄγωνται,

No. 4. Theocr. Id. 1. Thyrsis soll einem Ziegenhirten das Trauerlied vom Dahnis singen und ein zierlich gearbeitetes Gefäß zum Geschenk erhalten.

V. 1—3. Ψιθύρισμα, τὸ μινύρισμα. κυρίως δὲ λέγεται ψιθυρίζειν, τὸ ἐν τοῖς ὠσί τινὰ λεπτὸν ἦχον ἠχεῖν — καταχρηςικῶς δὲ καὶ ἐπὶ τῶν δένδρων. Ψιθυρίζουσι γὰρ αἱ πίτυς, ὅταν ῥιπισθῶσι, τῇ ςεινότητι τῶν φύλλων σχιζομένης τῆς πνοῆς. — τήνα, wie 4. τῆνος ob. No. 1, 29. - μελίσδεται No. 1, 9. ὅ ἐςι, λιγυρῶς ἠχεῖ καὶ ᾄδει. μέλη γὰρ τὰς ᾠδὰς ἔλεγον. συρίζειν, τὸ διὰ σύριγγος μέλπειν· ὥσπερ σαλπίζειν τὸ διὰ σάλπιγγος φωνεῖν. — ἀποισῇ. κομίσῃ, ὡς τὸ λαψῇ (V. 11. ἀξῇ) ἀντὶ τοῦ λήψῃ. ob. No. 1, 60. — V. 4. αἴκα §. 38. A, 1. — V. 5. ἐς τὲ (ob. No. 3, 7.) καταῤῥεῖ. μεταφορικῶς ἀντὶ τοῦ κατενεχθήσεται, nicht ganz unähnlich ist unser zufließen, zukommen. — V. 6. χίμαρος. ἀῤῥενικῶς μὲν ὁ τράγος, θηλυκῶς δὲ ἡ ἐνιαυσιαία αἲξ, ἡ ἑνὸς χειμῶνος οὖσα. — κρέας — ἔστε κ᾽ ἀμ. ἕως ἂν ἀμέλξῃς αὐτὴν. — ἐκ δὲ τούτου τὴν μήπω τετοκυῖαν δηλοῖ. ὅτι δὲ τῆς μήπω τετοκυίας τὸ κρέας ἥδιόν ἐςι, φησὶ καὶ Ἡσίοδος Ἔ. κ. Ἡ. 589: Καὶ βοὸς ὑλοφάγοιο κρέας μήπω τετοκυίας. Ἔριφος, μέχρι τριῶν καὶ τεττάρων μηνῶν. Χίμαροι ἐπὶ θηλυκοῦ, ἕως ἐνιαυτοῦ, τουτέςιν, ἕως ἂν τέκωσι καὶ ἀμελχθῶσιν. ἀφ᾽ οὗ δὲ τέξεται ἡ χίμαρος, οὐκέτι χίμαρος λέγεται, ἀλλὰ χίμαιρα, ἢ αἲξ. ταὐτὸ γὰρ αἲξ, καὶ χίμαιρα· ἐπὶ δὲ τῶν ἀῤῥένων ἔριφος καὶ τράγος. — — V. 7. 8. Virg. Eclg. V. 45—47. 83. 84. ἢ τὸ — ὕδωρ eine Verschmelzung zweyer Sätze, nach Art der gr. Attraction, für ἢ ὕδωρ τῆνο, τὸ (ὅ) καταχ. ἀπὸ τῆς πέτρ. καταλ.

Ἄρνα τὺ σακίταν λαψῇ γέρας· αἰ δέ κ' ἀρέσκῃ
Τήναις ἄρνα λαβεῖν, τὺ δὲ τὰν ὄϊν ὕστερον ἀξῇ.

ΘΥΡΣΙΣ.

Λῇς, ποτὶ τᾶν Νυμφᾶν, λῇς, αἰπόλε, τᾷδε καθίξας,
Ὡς τὸ κάταντες τοῦτο γεώλοφον, αἵ τε μυρῖκαι,
Συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τῷδε νομευσῶ.

ΑΙΠΟΛΟΣ.

Οὐ θέμις, ὦ ποιμὰν τὸ μεσαμβρινὸν, οὐ θέμις ἄμμιν
Συρίσδεν· τὸν Πᾶνα δεδοίκαμες· ἦ γὰρ ἀπ' ἄγρας
Τανίκα κεκμακὼς ἀμπαύεται· ἐντὶ δὲ πικρὸς,
Καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
Ἀλλὰ (τὺ γὰρ δὴ, Θύρσι, τὰ Δάφνιδος ἄλγεα εἶδες,

ὑψόθεν, wie es auch der Scholiast auslegt: ἡδύτερον τὸ σὸν μέλος ἢ ἐκεῖνο τὸ ὕδωρ, ὅπερ ὑψόθεν ἀπὸ τῆς πέτρας καταφέρεται μετὰ ἤχου. Valck. vermuthet, um die Verwickelung aufzulösen, für τῆν' ἀπὸ: τῆνο τὸ (ὅπερ) — V. 10. σηκῖται δὲ ἄρνες, οὓς ἔτι γάλακτος δεομένους οἱ νομεῖς τῶν μητέρων χωρίζοντες, ἰδίᾳ βόσκουσι καὶ ἐν ἰδίῳ σηκῷ κλείουσιν — V. 11. τὺ δὲ — ἀξῇ. τουτέςιν ἐν τῇ ᾠδῇ τὰ δευτερεῖα τῶν Μουσῶν ἕξεις. So τὰ πρῶτα, δευτέρα (ἄκρα) φέρεσθαι von den Siegern. — V. 12. λῇς, c. j. subscr. als Conjunctiv der Frage. καθίξας C, No. 4, 5. — V. 13. τὸ κάταντες, τὸ κατωφερές. Virg. Ecl. V, 1. etc. ὡς, wie τῶς i. e. ᾧ, ὅπου, Theocr. Epigr. 4, 1. — αἵ τε μυρ. (gew. ἅτε), ὑφ' αἷς μεσημβρίζειν εἰώθασιν. — Valcken. vermuthet: ᾧ — αἵτε μυρῖκαι (Tamarisken). — V. 15. μεσαμβρινόν §. 14, C. — ἄμμιν I, 9, 3. δεδοίκαμες, al. δεδοίκομες, die gewöhnliche Syrakusische Form von δεδοίκω Idyll. XV, 58. Callim. Epigr. 49, 9. wie πεποίθω 5, 28. πεφύκω 16, unten V. 61. ἐκλελάθω §. 32, A, 4 — V. 16. ἐντί ob. No. 1, 45. πικρὸς ἀντὶ τοῦ βαρὺς καὶ ὀργίλος — καὶ ἀεὶ πρὸς τῇ ῥινὶ αὐτοῦ, ἤτοι ἐν τῇ ῥινὶ, δριμεῖα χολὴ κάθηται. τουτέςι καὶ αἰεὶ ὀργίλος ἐςί. Τὸ τῇ σύριγγι δὲ χρῆσθαι φησὶ μὴ πρέπον εἶναι κατὰ τὸ μεσημβρινὸν, διὰ τὸν Πᾶνα, τῇ (s. ob. No. 2, 43.) σύριγγι χρώμενον· ἐπὶ τὴν ᾠδὴν δὲ προτρέπεται, ὡς ἄλλο τι οὖσαν, καὶ οὐ μέλον αὐτῆς τῷ Πανί. — V. 19. τὰ Δάφνιδος ἄλγεα, das Lied von Daphnis Tode, das nach Id. 14, 20. zum Sprichworte geworden war. Die Veranlassung seines Todes ist unbestimmt. Den meisten Sagen zufolge heirathete er eine Nymphe Echenais, auch Thalia. Beyde schwuren sich sich ewige Treue; Daphnis aber wurde im Trunke von

Καὶ τᾶς βωκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο μώσας,)
Δεῦρ᾽ ὑπὸ τὰν πτελέαν ἑσδώμεθα, τῶ τε Πριήπω
Καὶ τᾶν Κρανιάδων κατεναντίον, ἅπερ ὁ θῶκος
Τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες. αἰ δὲ κ᾽ ἀείσῃς,
Ὡς ποκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾆσας ἐρίσδων,
Αἶγά τέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι,
Ἃ, δύ᾽ ἔχοισ᾽ ἐρίφως, ποταμέλξεται ἐς δύο πέλλας,
Καὶ βαθὺ κισσύβιον, κεκλυσμένον ἁδέϊ καρῷ,
Ἀμφῶες, νεοτευχές, ἔτι γλυφάνοιο ποτόσδον·
Τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσὸς,
Κισσὸς ἑλιχρύσῳ κεκονισμένυς· ἁ δὲ κατ᾽ αὐτὸν

einer Fürstentochter Siciliens verleitet, sein Gelübde zu brechen und deshalb von seiner Gattin verlassen. Vergl. oben No. 3, 93. — V. 20. ἐπὶ τὸ πλέον, sc. ἢ ἡμεῖς ἄλλοι. — V. 21. τὸν Πρίηπον νύμφης Ναΐδος ἢ Χιόνης καὶ Διονύσου φασὶν υἱόν, ὃν καὶ κτῖσαι περὶ Λάμψακον ὁμώνυμον αὐτῷ πόλιν φασί. ἐνίοις δὲ ὁ αὐτὸς ἐςι Διονύσῳ. — V. 22. Κρανιάδων, ἀντὶ τοῦ κρηνῶν. εἰ μή που τὰς νύμφας κρηνίδας λέγει, ὡς τῶν νυμφῶν συγκαθεζομένων τῷ Πριήπῳ. — Δεῦρ᾽. ἄγε καθεζώμεθα ἀπεναντίας τοῦ ἀγάλματος τοῦ Πριάπου καὶ τῶν πηγῶν, ὅπου ἡ καθέδρα ἐκείνη ἡ ποιμενικὴ καὶ αἱ δρῦς. — V. 24. Λιβύαθε, τὸν ἀπὸ τῆς Λιβύης §. 51, g. — ὡς ᾆσας, nehml. ἄλγεα Δάφνιδος. — V. 25. Virg. Eclg. III, 30. — ποταμέλξεται vergl. oben I, 9, 6. — V. 27. κισσύβιον, ποτήριον ἀγροικικὸν, ἴσως ἀπὸ τοῦ κισσοῦ, ἐξ οὗ κατεσκευάζοντο τὰ ποτήρια (V. 29. 30.). κοινοτέρως δὲ καὶ ἐπὶ πάντων τῶν ξυλίνων ποτηρίων ὁ λόγος τίθεται. — κεκλυσμένον. ἤγουν λελουμένον κηρῷ, κεχρισμένον (um die Poren des Holzes zu verstopfen), ὃ κεκονισμένον οἱ κοινοὶ φασιν ἀπὸ τοῦ κλύζω. λέγεται δὲ τὸ κλύζειν, ἐπὶ δύο. ἐπί τε τοῦ διὰ κλυςῆρος ἰατρεύειν, καὶ ἐφ᾽ ὑγρῶν, ὅταν τι ἐπέρχωνται καὶ ἐπικαλύπτωσι, καθὸ λέγεται ἐνταῦθα. — V. 28. ἀμφῶες, τὸ ἀμφοτέρωθεν ἔχον ὠτία τινά. διὰ δὲ τοῦτον τὸ μέγεθος παρίςησιν. — νεοτευχές wird erklärt durch ποτόσδον (Buttm. gr. Gr. §. 119, 5, 3.), ὀσμὴν πέμπον καὶ μυρίζον, noch nach dem Schnitte riechend. Virg. Ecl. III, 38. — V. 29. τῶ περὶ μ. χείλη, vergl. Id. 8, 86. μαρύεται (πέπλεκται) Virg. Ecl. III, 45. — V. 30. ἑλιχρ. ὁ ἑλίχρυσος εἶδος φυτοῦ, οὗ τὸ ἄνθος ὅμοιον κρόκῳ, καὶ οἷον χρυσοειδές, Goldblume; besser auripigmentum, Bronze, womit der Epheu besprengt war, κεκόνισται; so auch sordere auro. —

Καρπῷ ἕλιξ εἱλεῖται ἀγαλλομένα κροκόεντι.
Ἔντοσθεν δὲ γυνά, τὶ θεῶν δαίδαλμα, τέτυκται,
Ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι· πὰρ δέ οἱ ἄνδρες
Καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
Νεικείουσ᾽ ἐπέεσσι· τὰ δ᾽ οὐ φρενὸς ἅπτεται αὐτᾶς.
Ἀλλ᾽ ὁκὰ μὲν τῆνον ποτιδέρκεται ἄνδρα γελεῦσα,
Ἄλλοκα δ᾽ αὖ ποτὶ τὸν ῥιπτεῖ νόον. οἱ δ᾽ ὑπ᾽ ἔρωτος
Δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
Τοῖς δὲ μέτα γριπεύς τε γέρων, πέτρα τε τέτυκται
Λεπρὰς, ἐφ᾽ ᾇ σπεύδων μέγα δίκτυον ἐς βόλον ἕλκει
Ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς.
Φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν·
Ὧδέ οἱ ᾠδήκαντι κατ᾽ αὐχένα πάντοθεν ἶνες,
Καὶ πολιῷ περ ἐόντι· τὸ δὲ σθένος ἄξιον ἅβας.
Τυτθὸν δ᾽ ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος
Πυρναίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά·

— V. 31. ἕλιξ ist größerer, hochrankiger Epheu — ἀγαλλομένα, θάλλουσα. — V. 32. ἔντοσθεν innerhalb dieses Epheukranzes, al. ἔκτοσθεν. θεῶν δαίδαλμα. τουτέςιν ἔργον οὕτω ποικίλον ὡς μὴ δοκεῖν ἄνθρωπον αὐτὸ κατασκευάσαι, ἀλλὰ θεούς — δαίδαλμα wird gewöhnlich vor Webereien gebraucht. Besser scheint die Erklärung θεῶν δαιδ. ein göttlich Gebild, so schön, wie eine Göttin, wozu die folgende Ausschmückung führt: — V. 33. ἀσκητά. Ἀσκητὴ ἢ κεκοσμένη πέπλῳ, τουτέςιν ἐνδύματι, καὶ περικεφαλαίᾳ, ἢ ἄμπυκι, τῷ συνδέοντι τὰς τρίχας, ἀπὸ τοῦ ἀμπέχειν. — V. 35. νεικείουσι, auch epische Form, wie ἐπέεσσι (Lieder): §. 63, 2. — τά. ταῦτα δὲ, ἃ αὐτοὶ φιλονεικοῦσι, ἤγουν αἱ φιλονεικίαι αὐτῶν. — V. 36. ἀλλ᾽ ὁκὰ — ἄλλοκα, wie Homer ὁτὲ μὲν — ἄλλοτε δὲ. Iliad. XI, 64. — γελεῦσα ob. No. 1, 63. — V. 38. κυλοιδιόωντες §. 2, 5. epische Form, §. 63, 5. οἰδοῦντες (ὑπ᾽ ἔρωτος) τὰ (κῦλα) κοῖλα τὰ ὑπὸ τοὺς ὀφθαλμούς, daher auch κοιλοιδιᾷν. — V. 41. τὸ καρτερὸν, ἤγουν κατὰ πᾶσαν αὐτοῦ τὴν ἰσχύν. — V. 42. ὅσον σθένος (Buttm. gr. Gr. §. 137. p. 580.) i. e. σθένος, ὅσον τῶν γυίων ἐςί. — ἐλλοπιεύειν δέ ἐςιν, τὸ ἔλλοπας, ἤγουν ἰχθῦς ἀγρεύειν. — V. 43. ᾠδήκαντι, ob. No. 2, 34. — V. 45. τυτθὸν δ᾽ ὅσσον. s. V. 42. — V. 46. πυρν. ὡρίμοις, περκαζούσαις. οἱ δὲ τὰς ἤδη ὥραν ἐχούσας τροφῆς. πύρνον γὰρ ἔνιοι τὴν τροφὴν λέγουσιν. ἢ πυρναίαις, ταῖς τρωξίμοις. —

Τὰν ὀλίγος τις κῶρος ἐφ᾽ αἱμασιαῖσι φυλάσσει
Ἥμενος· ἀμφὶ δέ μιν δύ᾽ ἀλώπεκες, ἃ μὲν ἀν᾽ ὄρχως
Φοιτῇ σινομένα τὰν τρώξιμον, ἃ δ᾽ ἐπὶ πήραν
Πάντα δόλον τεύχοισα, τὸ παιδίον οὐ πρὶν ἀνήσειν
Φατὶ, πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.
Αὐτὰρ ὅγ᾽ ἀνθερίκεσσι καλὰν πλέκει ἀκριδοθήραν,
Σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτε τι πήρας,
Οὔτε φυτῶν τοσσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.
Παντᾷ δ᾽ ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος,
Αἰολικόν τι θάημα· τέρας κέ τυ θυμὸν ἀτύξαι.
Τῷ μὲν ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ᾽ ἔδωκα
Ὦνον, καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος·
Οὐδ᾽ ἔτι πα ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ᾽ ἔτι κεῖται
Ἄχραντον, τῷ κέν τυ μάλα πρόφρων ἀρεσαίμαν,
Αἴκεν μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσῃς.
Κοὔ τοι τὶ φθονέω. πόταγ᾽, ὦ ᾽γαθέ· τὰν γὰρ ἀοιδὰν

— V. 48. ὄρχως. καὶ Ἡσίοδος ὄρχον λέγει τὴν ἐπίστιχον τῶν ἀμπέλων φυτείαν. — φοιτῇ §. 34, A, 2. — V. 51. ἀκράτιστον, Schol. ἄγευστον, müßte eigentlich heißen ἀνακράτιστον ohne Frühstück; daher besser ἢ ᾽γκράτιστον, oder ἢ ᾽νάριστον zu lesen. Brunk erklärt ἀκράτιστον durch μηδενὸς ἐγκρατῆ. — ἐπὶ ξηροῖς καθίζειν i. e. ξηρὸν τιθέναι sprichw. aufs trockne setzen, d. h. daß er nichts mehr hat (κενὸς εἶναι). — V. 52. Ἀνθέρικος ὁ τῆς ἀσφοδέλου (einer Art Lilie) καρπὸς, ἧς τὰ φύλλα ὡς πράσου ἀγρίου (wilder Lauch) μείζω δὲ καὶ πλατύτερα· ὁ δὲ καυλὸς (Stiel) ἀνθέριξ καλεῖται, ὅσον πηχυαῖος ὢν καὶ μείζων. — V. 54. τοσσῆνον §. 38, A, 3. γαθεῖ — γήθεται καὶ χαίρει περὶ τῷ πλ. ἀντὶ ἐπὶ τῷ πλ. — V. 55. ὑγρός τις ἄκανθος καὶ μαλακός. Virg. Ecl. III, 45. — V. 56. Αἰολικὸν τὸ Αἰτωλικόν. Αἰωλεῖς γὰρ οἱ Αἰτωλοί. ἐξ Αἰτωλίας δέ φησι τὸ ποτήριον κεκομίσθαι. Hesych. ἡ γὰρ Καλυδὼν Αἰολὶς ἐκαλεῖτο. — V. 57. 58. ὤνια τὰ πωλούμενα, ὦνος δὲ, ὃ δίδωσί τις ἵνα λάβῃ τι τῶν πωλουμένων. — τυρόεντα, Hesych. πλακοῦντα sc. ἄρτον nicht Käse selbst, sondern ein Kuchen aus Käse bereitet, wie κ. γάλακτος und aus Milch. — V. 59. Virg. Ecl. III, 43. — θίγεν oben No. 2, 26. — V. 60. ἄχραντον, ἄψαυστον, ἀμόλυντον. χράω ursprünglich berühren, daher χραύω streifen, ritzen. — ἀρεσαίμαν §. 2, 1, c. — V. 62. πόταγε, für ἄγε. — ὦ ᾽γαθέ· A, No. 2, 62. 104. —

Οὔτι πα εἰς Ἀΐδαν γε τὸν ἐκλελάθοντα φυλαξεῖς.

ΘΥΡΣΙΣ.

Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Θύρσις ὅδ' ὡξ Αἴτνας, καὶ Θύρσιδος ἁδ' ἁ φωνά.
Πᾷ ποκ' ἄρ ἦθ', ὅκα Δάφνις ἐτάκετο, πᾷ ποκα, Νύμφαι;
Ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα, ἢ κατὰ Πίνδω;
Οὐ γὰρ δὴ ποταμῶ γε μέγαν ῥόον εἴχετ' Ἀνάπω,
Οὐδ' Αἴτνας σκοπιὰν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
Τῆνον χὡ'κ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
Πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθ' Ἑρμᾶς πράτιστος ἀπ' ὤρεος, εἶπε δὲ, Δάφνι,
Τίς τυ κατατρύχει; τίνος, ὦ 'γαθὲ, τόσσον ἔρασσαι;

— V. 63. ἐκλελ. ἀντὶ τοῦ τὸν λήθης ποιητικὸν καὶ αἴτιον; aber auch in der Unterwelt sangen die Sänger fort, wie Orpheus etc. — V. 64. ἄρχετε, ἄρξασθαί με ποιήσατε. τοῦτο δὲ λέγεται, πρόασμα καὶ ἐπιμελῴδημα, καὶ ἐπῳδή· τὸ δὲ ἄρχετε καὶ λήγετε, ἐπῳδοῦ τάξιν ἔχει. Virg. Ecl. VIII, 21. 25. — V. 65. ὡ'ξ I, 9, 17 — Αἴτνας hier die Stadt, von Hieron erbaut; der Berg forderte ἀπό. — V. 66. πᾷ πόκα oben No. 1, 8. — V. 67. Πην. Πηνειὸς, ποταμὸς Σικελίας. τέμπη δὲ, γενικῶς μὲν τὰ ἄλση. νῦν δὲ τὸ μεταξὺ τῆς Ὄσσης καὶ τοῦ Ὀλύμπου χωρίον, ὅ ἐςι περικαλλές, καὶ ὥςπερ ὑπὸ θείας γνώμης πρὸς διόρυξιν διηρημένον, δι' ἧς ὁ Πηνειὸς πρὸς τὴν θάλασσαν ῥεῖ. — Πίνδω, ὄρος τῆς Ἀρκαδίας, ἢ ποταμός. Virg. Ecl. X, 9 ꝛc. — V. 68. Ἄναπος, ποταμὸς ἐν Συρακούσαις τῆς Σικελίας. — V. 69. Ἄκις, ποταμὸς Σικελίας. ὁ δὲ νοῦς· αἱ Νύμφαι τότε οὐκ ἦσαν περὶ Σικελίαν, ὅτε ὁ Δάφνις ἀπώλετο. — V. 71. Ein Vorwurf für die Nymphen, da ihn selbst Schakals und Wölfe beklagten; Wild überhaupt, da nicht alle diese reissenden Thiere in Sicilien waren; oder ὤρυσαντο ist wie eine Conjunctiv zu nehmen. ὠρύσαντο, ἤγουν ὠρυόμενοι ἐθρήνησαν. Virg. Ecl. V, 27. — V. 75. δαμάλαι. αἱ ἤδη δαμασθῆναι δυνάμεναι· πόρτιες δὲ αἱ μικραὶ καὶ μήπω εἰς ζυγὸν ἐλθοῦσαι. Virg. Ecl. X, 16. Alle Heerden beklagen den Daphnis. — V. 77. Ἑρμᾶς, als Hirtengott. — V. 78. τόσσον ἔρασσαι §. 13, B, c, 3, g. —

Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Ἦνθον τοὶ βῶται, τοὶ ποιμένες, ᾡπόλοι ἦνθον.
Πάντες ἀνηρώτευν, τί πάθοι κακόν. ἦνθ᾽ ὁ Πρίηπος·
Κῆφα Δάφνι τάλαν, τί τὺ τάκεαι; ἁ δέ τε κώρα
Πάσας ἀνὰ κράνας, πάντ᾽ ἄλσεα ποσσὶ φορεῖται,
(Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς)
Ζατεῦσ᾽. ἆ δύσερώς τις ἄγαν καὶ ἀμάχανος ἐσσί.
Βώτας μὰν ἐλέγευ· νῦν δ᾽ αἰπόλῳ ἀνδρί ἔοικας.
Ὡιπόλος, ὄκκ᾽ ἐσορῇ τὰς μηκάδας, οἷα βατεῦνται,
Τάκεται ὀφθαλμὼς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Καὶ τὺ δ᾽, ἐπεί κ᾽ ἐσορῇς τὰς παρθένος, οἷα γελεῦντι,
Τάκεαι ὀφθαλμὼς, ὅτι οὐ μετὰ ταῖσι χορεύεις.
Τὼς δ᾽ οὐδὲν ποτελέξαθ᾽ ὁ βωκόλος, ἀλλὰ τὸν αὐτῶ
Ἄνυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Ἦνθέ γε μὰν ἁδεῖα καὶ ἁ Κύπρις γελάοισα,
Λάθρια μὲν γελάοισα, βαρὺν δ᾽ ἀνὰ θυμὸν ἔχοισα,
Κῆπε, τὺ θὴν τὸν ἔρωτα κατεύχεο, Δάφνι, λυγιξεῖν·
Ἆρ᾽ οὐκ αὐτὸς ἔρωτος ὑπ᾽ ἀργαλέω ἐλυγίχθης;
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Τὰν δ᾽ ἄρα χ᾽ ὠ̔ Δάφνις ποταμείβετο· Κύπρι βαρεῖα,

— V. 81. ἀνηρώτευν (V. 90.) §. 37, A, 7. — V. 82. — κῆφα §. 16, a. Πρίηπος, Sohn des Bakchos und der Aphrodite, Feldgott überhaupt, in der ionischen Form §. 2, 1, e. Anm. Virg. Ecl. X, 19. ꝛc. — V. 85. ζατεῦσα, al. ζαλοῖσα und ζατοῖσ᾽, ohne Noth. — Das Folgende die Rede des Priapus bis V. 91. — δύσερως s. ob. No. 2, 6—7. — V. 86. al. μέν. — ἔγεντο ob. No. 3, 92. — V. 90. παρθένος §. 19, 3. — V. 92. τώς. πρὸς τούτους δὲ, οὕς τινας ἄνωθεν εἴπομεν. — V. 93. ἐς τέλος μοίρας, in Todesenden, Homer τέλος θανάτοιο. — V. 95. ἁδεῖα. al. ἦνθέ γε λάθρια μὰν κ. ꝛc. wegen λάθρια in V. 96. Andere halten letzteres für eine Glosse von ἁδεῖα und lesen beyde Mal ἁδέα. ꝛc. Unnöthig. — — V. 96. ἀνὰ θυμ. ἔχοισα i. e. ἀνέχουσα θυμόν. Venus subridens vultu iram animi praeferente Valck. — V. 97. λυγιξεῖν. καταδῆσαι, τουτέστι, περιέσεσθαι τοῦ ἔρωτος ἐκαυχῶ. ἴσως γὰρ ὁ Δάφνις μεγαλοῤῥημονήσας εἰς τὴν θεὸν, ταυτὴν ὑπέσχετο τὴν ποινὴν καὶ τιμωρίαν. — ἐλυγίχθης §. 33, D. —

Κύπρι νεμεσσατὰ, Κύπρι θνατοῖσιν ἀπεχθής·
Ἤδη γὰρ φράσδει πάνθ᾽, ἅλιον ἄμμι δεδύκειν·
Δάφνις κ᾽ εἰν ἀΐδα κακὸν ἔσσεται ἄλγος ἔρωτος.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
— ἔρπε ποτ᾽ Ἴδαν,
Ἔρπε ποτ᾽ Ἀγχίσαν· τηνεὶ δρύες, ὧδε κύπειρος,
Ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Ὡραῖος χ᾽ Ὤδωνις, ἐπεὶ καὶ μᾶλα νομεύει,
Καὶ πτῶκας βάλλει, καὶ θηρία τἄλλα διώκει.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Αὖτις ὅπως στασῇ Διομήδεος ἆσσον ἰοῖσα,

V. 101. *Κύπρι νεμεσσατὰ*, *ἀξία μέμψεως.* — V. 102. Nach der gewöhnlichen Lesart muß hinter *πανθ᾽* ein Komma gesetzt werden: Alles kündigt mir an, daß mir die Sonne untergehen, daß ich sterben werde; aber auch im Hades wird Daphnis noch seine alte Liebe bewahren, dem Eros zum Schmerz, der mich nicht ganz bezwungen. So paßt es am besten zu dem elegischen Charakter des Daphnis. Eine ältere Lesart ist: *ἤδη γὰρ φράσδει πάνθ᾽ Ἅλιος ἄμμι· δεδύκει Δάφνις* ꝛc. die der Scholiast vor sich gehabt zu haben scheint: *ἤδη γὰρ ὁ ἥλιος φράσδει ἡμῖν πάντα* ꝛc. Andere Vermuthungen sind: *φράσδῃ πάνθ᾽. ἅλ. ἄ. διδυκεῖν*; meinst du wohl, schon sey uns jegliche Sonne gesunken? Voß. Jakobs: *Αἰ δὴ γὰρ φράσδῃ πάνθ᾽ ἅλιον* ꝛc. si enim jam putas etc. — V. 105. 106. *ἔρπε ποτ. Ἴδαν* ꝛc. eine Anspielung auf die Verbindung der Aphrodite mit Anchises. Hom. Iliad. II, 819 ꝛc. V, 313. Hesiod. Theog. 1008. Hom. Hymn. in Vener. 155 sqq. *κύπειρος*, Kypergras, *βοτάνη τίς ἐστιν αὕτη μικρὰ καὶ εὐώδης.* — V. 107. *μέλισσαι* ꝛc. wahrscheinlich ist dieser ganze Vers aus Id. 5, 45. hereingekommen; hier wenigstens stört er den Zusammenhang, wie das Gleichmaas des Wechselgesanges; auch der Grund des Scholiasten kann ihn nicht schützen. — V. 109. *ὡραῖος. ἀκμάζων καὶ εὐειδής* — *ἐπεὶ καὶ* als consecutive, oder causale Partikel gibt einen passenden Sinn; unnöthig sind daher die Vermuthungen *ἐπάκτια*, am Meeresufer, nach Virg. Eclg. X, 18. oder *ἐπ᾽ ἀκτᾷ.* Ahlwardt: *ὡραῖον χ᾽ ὤδωνιν* (§. 16, b.) *ἔπει, καὶ* etc. i. e. *accede.* Adonis, der Geliebte der Aphrodite. Virg. Ecl. X, 18. et formosus oves ad flumina pascit Adonis. — V. 112. *αὖτις* I, 1, 5. §. 66, A, 4, b. ꝛc; bezieht sich auf den Kampf der Kypris mit Diomedes Hom. Iliad. V, 336. ꝛc.

Καὶ λέγε· τὸν βώταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Ὦ λύκοι, ὦ θῶες, ὦ ἀν᾽ ὤρεα φωλάδες ἄρκτοι,
Χαίρεθ᾽· ὁ βωκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκ ἔτ᾽ ἀν᾽ ὕλαν,
Οὐκ ἔτ᾽ ἀνὰ δρυμως, οὐκ ἄλσεα· χαῖρ᾽ Ἀρέθοισα,
Καὶ ποταμοὶ, τοὶ χεῖτε καλὸν κατὰ Θύμβριδος ὕδωρ.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Δάφνις ἐγὼν ὅδε τῆνος, ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Ὦ Πὰν Πὰν, εἴτ᾽ ἐσσὶ κατ᾽ ὤρεα μάκρα Λυκαίω,
Εἴτε τύ γ᾽ ἀμφιπολεῖς μέγα Μαίναλον, ἔνθ᾽ ἐπὶ νᾶσον
Τὰν Σικελὰν, Ἑλίκας δὲ λίπε Ῥίον, αἰπύ τε σᾶμα
Τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγαστόν.

— V. 115. Aphrodite hatte sich entfernt und Daphnis scheidet von den ländlichen Freuden. — V. 115. οὐ μάτην φωλάδας καλεῖ, ἀλλ᾽ ὅτι, ὥς φησι Θεόφραςος καὶ Σώπατρος ἐν τῷ περὶ ἄρκτων, φωλεοῖς (Hölen) οἱ ἄρκτοι χρῶνται καὶ πολὺν φωλεύουσι χρόνον. — V. 116. Virg. Ecl. VIII, 58 — — vivite silvae I, 76. — V. 117. Ἀρέθοισα. πηγὴ ἐν Συρακούσαις τῆς Σικελίας εἰς ἣν εἰσρέει ὁ ἐξ Ἀρκαδίας Ἀλφειὸς ποταμός. — V. 118. Θύμβριδος. ποταμὸν Σικελίας εἶναι φασὶ καὶ τοῦτον. Ἄλλως, Θύμβρις κατά τινα γλῶσσαν ἡ θάλασσα (also das Sicilische Meer). Valck. hält es wegen κατὰ für einen Berg. — V. 120. 121. wird von einigen nach Virg. Ecl. V, 42: tumulo superaddite carmen: Daphnis ego in silvis, hinc usque ad sidera notus, formosi pecoris custos, formosior ipse. für eine Grabschrift gehalten; besser ist es mit V. 116 und 117 zu verbinden: ich, der ich einst in diesen Gefilden die Heerden weidete, werde bald nicht mehr hier wandeln. (Ahlwardt versetzt die vorhergehenden Verse also: 116. 120 119. 121. 117. 118. 122. V. 123. Abschied vom Pan. Λυκαίω. τὸ Λύκαιον ὄρος Ἀρκαδίας. — V. 124. Μαίναλον ὄρος καὶ τοῦτο Ἀρκαδίας, ἀπὸ Μαινάλου τοῦ Λυκάονος υἱοῦ Ἑρμοῦ. — V. 125. Ἑλίκας δὲ λίπε (lang in der Cäsur und wegen der folgenden Aspirata oben V. 86.) Ῥίον, αἰπύ τε σᾶμα τ. Λυκαονίδαο (§. 18.) τὸ ὑψηλὸν μνῆμα ἐκείνου τοῦ υἱοῦ τοῦ Λυκάονος, ἤγουν τοῦ Μαινάλου (der den Arkadiern Ackerbau gelehrt hatte). Ῥίον ἀκρωτήριον ἐςὶ τῆς Πελοποννήσου, (bey Helike) ἐναντίως τῷ καλουμένῳ Ἀντιρρίῳ τετραμμένον.

Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Ἔνθ', ὦ 'ναξ, καὶ τάνδε φέρ' εὐπάκτοιο μελίπνουν
Ἐκ καρῶ σύριγγα καλὰν, περὶ χεῖλος ἑλικτάν.
Ἦ γὰρ ἐγὼν ὑπ' ἔρωτος ἐς Ἅϊδος ἕλκομαι ἤδη.
Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Νῦν ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ' ἄκανθαι,
Ἁ δὲ καλὰ νάρκισσος ἐπ' ἀρκεύθοισι κομάσαι·
Πάντα δ' ἔναλλα γένοιντο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι,
Δάφνις ἐπεὶ θνάσκει· καὶ τὰς κύνας ὥλαφος ἕλκοι,
Κἠξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.
Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Χὠ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δ' Ἀφροδίτα
Ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπει
Ἐκ Μοιρᾶν· χὠ Δάφνις ἔβα ῥόον, ἔκλυσε δίνα

— V. 127. ἴτε. ἄγετε. Virg. Ecl. VIII, 61. desine Maenalios, jam desine, tibia, versus Die wiederkehrenden Verse werden nicht vom Daphnis gesungen, sondern gehören zur Melodie. — V. 128. μελίπνουν γλυκύφωνον V. 129. ἑλικτάν περιειλημμένην περὶ τὸ χεῖλος, sanft gebogen um die Lippe, am Mundstück. — V. 131. wird von Einigen hinter V. 132. gesetzt Es kann aber auch der Dichter mit Absicht das Gleichmaas der Verse unterbrochen haben, um die Rede des scheidenden Daphnis desto fühlbarer zu machen. — V. 133. κομάσαι, ἀναθῆλαι, wie κόμη f. ἄνθος. — ἄλλως βλαστασάτω ἐπὶ τ. ἀρκ. Virg. Ecl. VIII, 52 sqq. V, 38. — V. 136 γαρύσαιντο wird zwar Id. VIII, 127 IX, 7. von jungen Rindern gebraucht, hat aber auch die Bedeutung des lauten Tönens und starken Gesanges überhaupt. Einige vermuthen δαρίσαιντο, mit dem Schol. εἰς ἔριν φωνῆς ἐλθέτωσαν. So Virg. Ecl. VIII, 55: certant et cycnis ululae und in einem Epigr. Brunck. Anal. T. III. p. 250, 368. V. 2. τολμῷεν δ' ἐρίσαι σκῶπες ἀηδονίσιν. — V. 138. ἀπεπαύσατο, auch ἀνεπαύσατο, wie der Schol. εὐφήμως τὸ ἀποθανεῖν. — V. 139. ἀνορθῶσαι. Schol. ἀνακαλέσασθαι, ἀναζωῶσαι. — λίνα τουτέστι τὰ νήματα τὰ ὑπὸ τῶν μοιρῶν ἐπ' αὐτῷ κλωθόμενα. — V. 140. ῥόον sc. τοῦ Ἀχέροντος. ἔκλυσε. ἐκάλυψεν. Aehnlich Ovid. Amor. III, 9, 27. hunc quoque summa dies nigro submersit Averno. Propert. III, 16, 9. His pressus Stygias vultum demersit in undas. Mit Zartgefühl übergeht der Dichter den Todeskampf des Daphnis und läßt ihn sanft verschwinden. —

Τὸν Μώσαις φίλον ἄνδρα, τὸν οὐ Νύμφαισιν ἀπεχθῆ.
Λῆγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Καὶ τὺ δίδου τὰν αἶγα, τό τε σκύφος· ὥς μιν ἀμέλξας
Σπείσω ταῖς Μώσαις. ὦ χαίρετε πολλάκι, Μοῖσαι,
Χαίρετ'· ἐγὼ δ' ὔμμιν καὶ ἐς ὕστερον ἅδιον ᾀσῶ.

ΑΙΠΟΛΟΣ.

Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα, Θύρσι, γένοιτο,
Πλῆρές τοι σχαδόνων, καὶ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις
Ἁδεῖαν, τέττιγος ἐπεὶ τύ γα φέρτερον ᾄδεις.
Ἠνίδε τοι τὸ δέπας· θᾶσαι, φίλος, ὡς καλὸν ὄσδει·
Ὡρᾶν πεπλύσθαι νιν ἐπὶ κράναισι δοκασεῖς.
Ὧδ' ἴθι, Κισσαίθα· τὺ δ' ἄμελγέ νιν· αἱ δὲ χίμαιραι
Οὐ μὴ σκιρτάσητε, μὴ ὁ τράγος ὔμμιν ἀναστῇ.

— V. 144. 145. Der Sänger spendet den Musen, denen er den Preis verdankt und endet mit einer Hymne. Aehnlich waren die alten Hymnen, die vor den epischen Rhapsodien als Vorspiele gesungen wurden. — V. 143. *δίδου*, al. *δίδοι* §. 36, 7. — V. 147. *Αἰγίλω. Αἴγιλος* (eigentlich *Αἰγιλία*) *δῆμος τῆς Ἀττικῆς ἀπό τινος φυλῆς ἥρωος Αἰγίλου. ὅτι δὲ αἱ Ἀττικαὶ ἰσχάδες ἡδεῖαι καὶ Δίνων μαρτυρεῖ.* Feigen waren ein Hauptnahrungsmittel der Athenäer wegen des Mangels an Getreide; daher auch das Verbot gegen die Ausfuhr derselben. *ἔςι δὲ καὶ Λακωνικὸν χωρίον. Αἴγιλον.* — V. 149. *ἠνίδε* §. 38, A, 3. auch *ἠνί* und *ἤν*. — V. 150. *Οὕτως ἐςὶ δηλονότι ὡραῖον τὸ δέπας* die Horen hier blos als Sinnbilder der Schönheit und Anmuth. — V. 151. *Κισσαίθα. ὄνομα αἰγός· ἐκ τοῦ κισσοῦ καὶ τοῦ αἴθω, ἡ κισσὸν λευκὸν κατανεμομένη. αἶθον γὰρ τὸ λαμπρὸν. ἐκ δὲ τοῦ λαμπροῦ γίνεται μεταληπτικῶς τὸ λευκόν* (Weißhaar).

No. 5. *ΣΥΡΑΚΟΥΣΙΑΙ Η ΑΔΩΝΙΑΖΟΥΣΑΙ. ΓΟΡΓΩ, ΠΡΑΞΙΝΟΗ, ΓΡΑΥΣ, ΞΕΝΟΣ, (ΕΤΕΡΟΣ ΞΕΝΟΣ, ΓΥΝΗ ΑΟΙΔΟΣ).*

ΓΟΡΓΩ.

Ἔνδοι Πραξινόα;

ΠΡΑΞΙΝΟΗ.

Γοργοῖ φίλα, ὡς χρόνῳ; ἔνδοι.
Θαῦμ', ὅτι καὶ νῦν ἦνθες. ὅρη δίφρον, Εὐνόα, αὐτᾷ·
Ἔμβαλε καὶ ποτίκρανον.

No. 5. Theocr. Idyll. XV. Dieser und der folgende Gesang bilden Gegenstücke am Feste des Adonis (Geliebten der Aphrodite), für welches ohne Zweifel beyde gedichtet waren. Das Adonisfest, das an mehreren Orten des Orients, vorzüglich aber in Alexandrien mit verschwenderischer Pracht gefeiert wurde, theilte sich in zwey Theile. Im ersten wurde der zum Acheron hinabgestiegene beklagt (ἀφανισμός), Bions Grablied des Adonis. Im zweyten wurde der Wiederkehrende selig gepriesen (εὕρεσις), wie in dem theokritischen Liede. Dabey wurde nehmlich das Bild des Adonis unter feierlichem Gesange an das Meeresufer getragen, ihm selbst aber ein Brautgemach geschmückt und köstliche Speise vorgesetzt. Letzteres hatte Arsinoe, Schwester der Berenike und Gemahlin des Ptolemäos Philadelphos mit besonderm Aufwande vorbereitet; dafür soll zugleich dem Alexandrinischen Hofe des gebührende Lob zu Theil werden. Die Einkleidung ist nach Art der Sophronischen Mimen, von denen, zu Folge einer alten Ueberschrift, Theokrit einen: „die Weiber bey den Isthmischen Spielen“ vor sich gehabt haben soll. Das Gedicht theilt sich in drey Akte: 1. in dem Hause der Praxinoa, zu der die Freundin Gorgo bestellt war; 2. auf dem Wege zu dem Feste; 3. in dem königlichen Palaste. Das Gespräch beginnt zwischen zwey Syrakusischen Frauen, die jetzt in Alexandrien wohnen und ausgehen wollen, das Fest zu beschauen.

V. 1. ἔνδοι §. 38, A, 4. Γοργοῖ φίλα — ἔνδοι scheint richtiger als Antwort der Dienerin Eunoa, wie auch der Scholiast: ἡ Γοργὼ δέ φησι πρὸς τὴν θεράπαιναν — ὡς χρόνῳ ἀντὶ τοῦ ὡς διὰ χρόνου. — 2. ἦνθες; andere mit Warton ἦνθον, als Antwort der Gorgo. ὅρη (§. 34, D, 1.) αὐτᾷ, circumspice sellam. — V. 3. ἔχει καλλ. Ausdruck der Höflichkeit. —

ΓΟΡΓΩ.

῎Εχει κάλλιστα.

ΠΡΑΞΙΝΟΗ.

Καθίζευ.

ΓΟΡΓΩ.

῏Ω τᾶς ἀδαμάτω ψυχᾶς. μόλις ὔμμιν ἐσώθην,
Πραξινόα. πολλῶ μὲν ὄχλω, πολλῶν δὲ τεθρίππων·
Παντᾷ κρηπῖδες, παντᾷ χλαμυδηφόροι ἄνδρες·
῾Α δ᾽ ὁδὸς ἄτρυτος· τὺ δ᾽ ἑκαστοτέρω ἔμ᾽ ἀποικεῖς.

ΠΡΑΞΙΝΟΗ.

Ταῦθ᾽ ὁ πάραρος τῆνος ἐπ᾽ ἔσχατα γᾶς ἔλαβ᾽ ἐνθὼν,
᾽Ιλεὸν, οὐκ οἴκησιν, ὅπως μὴ γείτονες ὦμες
᾽Αλλάλαις, ποτ᾽ ἔριν φθονερὸν κακὸν αἰὲν ὅμοιος.

ΓΟΡΓΩ.

Μὴ λέγε τὸν τεὸν ἄνδρα, φίλα, Δείνωνα τοιαῦτα,
Τῶ μικκῶ παρεόντος. ὅρη, γύναι, ὡς ποθορῆ τυ.

ΠΡΑΞΙΝΟΗ.

Θαρσεῖ, Ζωπυρίων, γλυκερὸν τέκος· οὐ λέγω ἀπφῦν.

ΓΟΡΓΩ.

᾽Αἰσθάνεται τὸ βρέφος, ναὶ τὰν πότνιαν· καλὸς ἀπφῦς·

— V. 5. πολλῶ ὀχλ. abhängig von ἐσώθην. Buttm. gr. Gr. §. 119, 4. 1.) — V. 6. κρηπῖδες. ἤγουν πανταχοῦ κεκρηπιδωμένοι ἄνδρες. λέγει δὲ τοὺς ἐν τῇ πόλει ςρατιώτας. — V. 8. ἡ Πραξινόα ταῦτά φησι περὶ τοῦ ἰδίου ἀνδρός. ὅτι μακρὰν ἐμισθώσατο οἰκίαν — ἐπ᾽ ἔσχατα γῆς hyperbolisch — πάραρος. ὁ παρῃρτημένος τὴν γνώμην, ὁ ἀνάρμοςος, ὁ ἀχρήσιμος καὶ μάταιος ἐκ μεταφορᾶς τῶν παρήρων ἵππων, οἵτινες τῷ ζυγῷ οὐ χρησιμεύουσιν. — V. 10. ὅμοιος, gewöhnlich ἐμεῖο §. 56, 1. (Valcken. ἐμείως, pr. ἐμοῦ) dann ist πρόθυμος dazu zu denken: immer zum Widerspruch geneigt. — V. 11. Δείνωνα, Gatte der Praxinoa, andere Lesart Διώνα zu φίλα bezogen, als ein Liebesausdruck; aber ganz ungewöhnlich. Der doppelte Acc. bey λέγειν in der Umgangssprache. — V. 12. τῶ μικκῶ No. 3, 64. τύ (σέ) No. 3, 7. — V. 13. ἀπφῦν (besser ἀπφύς). οὕτω τὸν πατέρα καλοῦσιν, ἀφ᾽ οὗ τις πέφυκεν· λέγεται δὲ ὑποκοριςικῶς (I, No. 1, 20.); für πάππα bey den Syrakusern auch πᾶς. — V. 14. πότνιαν, τὴν σέμνην θεὸν Περσεφόνην. Schol. ναὶ μὰ τὴν κόρην. εὖ δὲ τὰς Συρακουσίας ταύτην ὀμνύναι. φασὶ γὰρ τὸν Δία τῇ Περσεφόνῃ τὴν Σικελίαν δωρήσασθαι.

ΠΡΑΞΙΝΟΗ.

Ἀπφῦς μὰν τῆνος πρώαν, (λέγομες δὲ πρώαν θὴν
Πάντα) νίτρον καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοράσδων,
Ἦνθε φέρων ἅλας ἄμμιν, ἀνὴρ τρισκαιδεκάπαχυς.

ΓΟΡΓΩ.

Χὠμὸς ταὐτά γ᾽ ἔχει, φθόρος ἀργυρίω, Διοκλείδας.
Ἑπτὰ δραχμῶν, κυνάδας, γραιᾶν ἀποτίλματα πηρᾶν,
Πέντε πόκως ἔλαβ᾽ ἐχθές, ἅπαν ῥύπον, ἔργον ἐπ᾽ ἔργῳ.
Ἀλλ᾽ ἴθι, τὠμπέχονον καὶ τὰν περονατρίδα λαζεῦ.
Βᾶμες τῶ βασιλῆος ἐς ἀφνειῶ Πτολεμαίω,
Θασόμεναι τὸν Ἄδωνιν· ἀκούω χρῆμα καλόν τι
Κοσμῆν τὰν βασίλισσαν.

ΠΡΑΞΙΝΟΗ.

Ἐν ὀλβίω ὄλβια πάντα.
Ὧν εἶδες, χ᾽ ὧν εἶπας, ἰδοῖσα τὺ τῷ μὴ ἰδόντι.

— V. 15. 16. λέγομες πρώαν θὴν πάντα. θὴν zu λέγομες „ich nenne fürwahr Alles neulich“ denn ein so freudenloses Leben hat keine Gegenwart. — ἀγοράσδων, das Verbum der Bewegung ἔβη ist aus dem folgenden ἦνθε zu denken. Reiske und Valckenaer: ἀπφῦς μὲν τῆνος (πρώαν θὴν πάντα λέγωμες) νίτρον ἔβα καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοραξῶν, κ᾽ ἦνθε etc. — νίτρον (§. 43, A, d, 1.) zur Verschönerung der Haut überhaupt. φῦκος, um die Augenbraunen dunkel zu färben. — V. 17. τρισκαιδεκάπαχυς homo magnus, longus, longurio. Auch wir vergleichen in der gemeinen Sprache die Dummheit mit der körperlichen Länge. — V. 18. ταὐτά γ᾽ ἔχει, eodem modo. — V. 18. γραιᾶν πηρᾶν sc. οἴων. — V. 20. πόκως, eigentlich schon in κυνάδας enthalten; ähnlich ist ἀμισθὶ χρημάτων, ἄπεπλος φαρέων — ἅπαν Apposition zum Masc. ῥύπον, welches gewöhnlich wegen dieser Stelle für Neutrum gehalten wird. ἔργον ἐπ᾽ ἔργῳ. διὰ τὸ δὶς αὐτὰ πλύνεσθαι. — V. 21. τὰν περονατρίδα. τὸ πέπλον καὶ ἔνδυμα, ὅπερ πρῶτον ὑπεζώννυντο. — — V. 22. βᾶμες, seltnere Form, contr. aus βάωμες für βῶμες §. 11, 1. — V. 23. καλόν τι χρ. nehmlich das Fest. — V. 25. Bey der gewöhnlichen Lesart ist mit dem Scholiasten διηγήσαιο zu suppliren. τῷ ἰδόντι für τῇ ἰδούσᾳ dürfte nicht auffallen, da wir auch in der gemeinen Sprechart das Geschlecht unbestimmt lassen: unser einem. Andere vermuthen: ὧν ἴδες ὧν (οὖν) εἴπαις ἂν ἰδοῖσα. Koen. blos ὧν εἴπαις ohne ἂν ꝛc.

Bayerische Staatsbibliothek MÜNCHEN

ΓΟΡΓΩ.

Ἕρπειν ὥρα κ' εἴη· ἀεργοῖς αἰὲν ἑορτά.

ΠΡΑΞΙΝΟΗ.

Εὐνόα, αἶρε τὸ νᾶμα, καὶ ἐς μέσον αἰνόθρυπτε
Θὲς πάλιν. αἱ γαλέαι μαλακῶς χρήσδοντι καθεύδεν.
Κινεῦ δή, φέρε θᾶσσον ὕδωρ· ὕδατος πρότερον δεῖ.
Ἁδ' ὡς νᾶμα φέρει· δὸς ὅμως· μὴ πουλύ, ἄπληστε,
Ἔγχει ὕδωρ· δύστανε, τί μευ τὸ χιτώνιον ἄρδεις;
Παῦσαι. ὁποῖα θεοῖς ἐδόκει, τοιαῦτα νένιμμαι.
Ἁ κλὰξ τᾶς μεγάλας πᾶ λάρνακος; ὧδε φέρ' αὐτάν.

ΓΟΡΓΩ.

Πραξινόα, μάλα τοι τὸ καταπτυχὲς ἐμπερόναμα
Τοῦτο πρέπει. λέγε μοι, πόσσω κατέβα τοι ἀφ' ἱστῶ;

ΠΡΑΞΙΝΟΗ.

Μὴ μνάσῃς, Γοργοῖ· πλέον ἀργυρίω καθαρῶ μνᾶν

— V. 27 *αἶρε*, in der Umgangssprache nur für *πρόσφερε*. *αἰνόθρυπτε*. al. plagipatida nach Plautus; vielleicht activ zu nehmen: die Alles zerbricht, da *καὶ ἐς μεσ. θ. πάλιν* (*θέλει δὲ εἰπεῖν, μὴ ἀμελῶς εἰς τὸ μέσον αὐτὸ θήσεις*) auf ein früheres Unglück mit dem Gefäß deutet, und V. 28. das Sprichwort *αἱ γαλέαι — καθεύδεν* die Magd mit einer schläfrigen Katze vergleicht. Andere erklären *νᾶμα* für *νῆμα* nach Id. 24, 74. Gespinst, gewobenes Kleid; dadurch bekommt das folgende eine andere Deutung. — V. 30. *πουλύ* §. 9, 4. — V. 32. *ὁποῖα* (*ὁκοῖα*) *ἐδόκει*. scheinbar den Göttern anheim gestellt, Schol. *εἴτε καλῶς, εἴτε κακῶς*: will's Gott! — Gottlob! *τοιαῦτα* adverbialisch. — V. 33. *κλάξ* f. *κλαΐς*, §. 12, 2. — V. 35. *κατέβα* wird sonst, wie *καταβιβάζειν* und *κατατέμνειν* Id. 18, 34. von dem Gewebe gebraucht, das von dem Webstuhle kommt; hier etwas verschieden, da blos nach dem Preise des Stoffes gefragt wird, den Praxinoa selbst gewoben hatte. Wir können eben so zuzusammen ziehen: Wie hoch kam es dir vom Stuhle weg? Denn sie rechnet nun den Preis der Wolle und ihre Mühe. — V. 36. 37. *μνᾶν* §. 18. Anm. 1. selten bey den Attikern mit dem Zusatz *ἀργυρίου*, wahrscheinlich aber bey den sicilischen und italischen Griechen in der Umgangssprache gewöhnlich. *ἤ* nach dem Komparativ überflüssig; daher andere *μνᾶς* sc. *ἔθηκα* vermutheten; aber ähnlich ist Lysiae Orat. de Aristoph. p. 349. ed. Taylor: *ϛεφάνῳ* —

Ἢ δύο· τοῖς δ᾽ ἔργοις καὶ τὰν ψυχὰν ποτέθηκα.

ΓΟΡΓΩ.

Ἀλλὰ κατὰ γνώμαν ἀπέβα τοι.

ΠΡΑΞΙΝΟΗ.

Πᾶ ποκ᾽ ἔλειπες
Τὠμπέχονον; φέρε μοι καὶ τὰν θολίαν· κατὰ κόσμον
Ἀμφίθες. οὐκ ἀξῶ τυ, τέκνον· μορμὼ, δάκνει ἵππος.
Δάκρυε ὅσσ᾽ ἐθέλεις· χωλὸν δ᾽ οὐ δεῖ τυ γενέσθαι.
Ἕρπωμες. Φρυγία, τὸν μικκὸν, παῖσδε, λαβοῖσα,
Τὰν κύν᾽ ἔσω κάλεσον, τὰν αὐλείαν ἀπόκλαξον.
Ὦ θεοὶ, ὅσσος ὄχλος· πῶς καὶ πόκα τοῦτο περᾶσαι
Χρὴ τὸ κακόν; μύρμακες ἀνάριθμοι καὶ ἄμετροι.
Πολλά τοι, ὦ Πτολεμαῖε, πεποίηται καλὰ ἔργα.
Ἐξ ὧ ἐν ἀθανάτοις ὁ τεκὼν, οὐδεὶς κακοεργὸς
Δαλεῖται τὸν ἰόντα, παρέρπων Αἰγυπτιστί·

ἐλέγετο εἶναι πλέον ἢ πεντήκοντα ταλάντων. — ποτέθηκα, wie unser daransetzen: es hat mir fast das Leben gekostet. Id. XXVII, 60. ἐπιβάλλειν. — V. 38. κατὰ γνώμαν ex voto. πᾶ ποκ᾽ ἔλειπες nach Eldik. und Valckenaer. Gewöhnlich wird mit dem Scholiasten gelesen ναὶ· καλὸν εἶπας, als eine scheinbare Abwendung des Lobes von Seiten der geschwätzigen Praxinoa: Nicht doch; wie du schmeichelst! — V. 39. ἀμπέχονον §. 13. B, b, 1. θολίαν. τὸ σκιάδιον, τὸν πέτασον, εὐκόσμως ἐπίθες, εἴρηται δὲ, ἀπὸ τοῦ θόλῳ (Wölbung) ἐοικέναι, Sonnenhut, Suidas θολικός. — V. 40. μορμώ, όος, oder μορμών eigentlich ein Gespenst, Schreckbild, die Kinder zum Schweigen zu bringen; dann ein Ausruf zum Erschrecken: Hu! — V. 43. αὐλεία die Thüre nach der Straße. — V. 44. Die Scene auf der Straße beginnt — ὦ θεοί, wie Di boni, Di nostram fidem! Terent. Andr. IV, 4. πῶς καὶ πόκα qui et unde. — V. 45. χρὴ, wie δεῖ auch in der Bedeutung von licet — τὸ κακὸν i. e. ὄχλον, durch μύρμακες näher bestimmt, gleich einem Gewühle von Ameisen — V. 46. τοί nach gewöhnlichem Gräcismus für ὑπὸ σοῦ. — V. 47. ὁ τεκών Ptolem. Lagi, der Gemahl der Berenike und früher der Eurydike. Die Vergötterung war am Alexandrinischen Hofe, wie späterhin in Rom eine gewöhnliche Ehrenbezeugung für verstorbene Fürsten. Vergl. Id. XVII, 16. — V. 48. παρέρπων. ἐξαπατήσας, παραλογιζόμενος, παρέρχεσθαι, wie Homer ἐπεὶ οὐ παρελεύσεαι οὐδ᾽ ἐμὲ

Οἷα πρὶν ἐξ ἀπάτας κεκροταμένοι ἄνδρες ἔπαισδον,
Ἀλλάλοις ὁμαλοὶ κακὰ παίγνια, πάντες ἐρειοί.
Ἁδίστα Γοργοῖ, τί γενώμεθα; τοὶ πτολεμιςαὶ
Ἵπποι τῶ βασιλῆος· ἄνερ φίλε, μή με πατήσῃς.
Ὀρθὸς ἀνέστα ὁ πυῤῥός· ἴδ᾽ ὡς ἄγριος· κυνοθαρσὴς
Εὐνόα, οὐ φευξῇ; διαχρησεῖται τὸν ἄγοντα·
Ὠνάθην μεγάλως, ὅτι μοι τὸ βρέφος μένει ἔνδοι.

ΓΟΡΓΩ.

Θάρσει, Πραξινόα· καὶ δὴ γεγενήμεθ᾽ ὄπισθεν.
Τοὶ δ᾽ ἔβαν ἐς χώραν·

ΠΡΑΞΙΝΟΗ.

Καὐτὰ συναγείρομαι ἤδη.
Ἵππον καὶ τὸν ψυχρὸν ὄφιν ταμάλιστα δεδοίκω
Ἐκ παιδός. σπεύδωμες· ὅσος ὄχλος ἄμμιν ἐπιῤῥεῖ;

ΓΟΡΓΩ.

Ἐξ αὐλᾶς, ὦ μᾶτερ;

ΓΡΑΥΣ.

Ἐγὼν, ὦ τέκνα.

ΓΟΡΓΩ.

Παρενθεῖν

πείσεις. Hesych. *παραδραμεῖν. Αἰγυπτιςί.* — *ἀπατηλοὶ γὰρ καὶ Αἰγύπτιοι, ὡς λέγει ὁ Αἰσχύλος. Δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.* — V. 49. 50. *ἐξ ἀπάτας κεκροταμένοι* ex dolo conflati. — *κακὰ παίγνια*, besser als Apposition zu *ἄνδρες*, abstr. p. concr. mali impostores, Truggesindel — *ἐρειοί*, Hapaxlegomenon, von *ἔρις* zanksüchtig paßt nicht, eben so wenig Reiske's unbegründetes servi, Bauern; daher Ahlwardt nach Warton's Vermuthung *ἀραῖοι* detestabiles. — V. 51. *τί γενώμεθα*, gew. *γενοίμεθα* i. e. *τί πεισόμεθα πολεμιςαί*, ob. nach No. 3, 9. dor. *πολεμικταί.* — V. 53. *πυῤῥός*, altrömisch burrus, *ἀνέςα* bäumt sich. — V. 55. *ὠνάθην* (ungewöhnliche Form bey ältern Schriftstellern, daher Valck. *ὠνάμην*) *μεγάλως*: Wie wohl hab' ich gethan! *μοί* vergl. oben V. 4. — V. 57. *τοὶ — ἐς χώραν.* Sch. *ἐς τὴν τάξιν αὐτῶν* sind zur Ordnung, in ihre gehörige Stellung gebracht; besser, als wie Andere wollen, in's Feld. *συναγείρομαι ἤδη*, ich sammle mich wieder, athme wieder. — V. 58. *δεδοίκω* No. 4, 15. — V. 60. Zu einer nahe stehenden Alten. *ἐξ αὐλᾶς* Schol. *ἐξαυδᾶς*. *παρενθεῖν* i. e. *εἰσελθεῖν.*

Εὐμαρές;

ΓΡΑΥΣ.

Ἐς Τροίαν πειρώμενοι ἦνθον Ἀχαιοί.
Καλλίστα παίδων, πείρῃ θὴν πάντα τελεῖται.

ΓΟΡΓΩ.

Χρησμὼς ἁ πρεσβῦτις ἀπῴχετο θεσπίξασα.

ΠΡΑΞΙΝΟΗ.

Πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἀγάγεθ' Ἥραν.

ΓΟΡΓΩ.

Θᾶσαι, Πραξινόα, περὶ τὰς θύρας ὅσσος ὅμιλος.

ΠΡΑΞΙΝΟΗ.

Θεσπέσιος. Γοργοῖ, δὸς τὰν χέρα μοι· λαβὲ καὶ τύ,
Εὐνόα, Εὐτυχίδος· πότεχ' αὐτᾷ, μὴ τὺ πλανηθῇς.
Πᾶσαι ἅμ' εἰςένθωμες· ἀπρὶξ ἔχευ, Εὐνόα, ἁμῶν.
Ὤ μοι δειλαία, δίχα μευ τὸ θερίστριον ἤδη
Ἔσχισται, Γοργοῖ. πὸτ τῶ Διὸς, εἴτι γένοιο
Εὐδαίμων, ὤνθρωπε, φυλάσσεο τὠμπέχονόν μευ.

ΞΕΝΟΣ.

Οὐκ ἐπ' ἐμὶν μέν· ὅμως δὲ φυλάξομαι.

ΠΡΑΞΙΝΟΗ.

Ἀθρόος ὄχλος·
Ὠθεῦνθ' ὥςπερ ὕες.

ΞΕΝΟΣ.

Θάρσει, γύναι· ἐν καλῷ εἰμές.

— V. 64. ἴσαντι §. 37, III. ὡς Ζεὺς ἀγάγεθ' Ἥραν (dor. nie Ἅραν, wie nie ἀνάρ, ἀςάρ) Plaut. Trinum. 1. 2, 171. Sciunt, quod Juno fabulata est cum Jove: Nach Homer war die Verbindung des Zeus mit der Juno selbst den Göttern unbekannt. — V. 65. Vor dem königlichen Pallaste — θᾶσαι No. 4, 149. — V. 67. Εὐτυχίδος, Γοργοῦς θεραπαίνας — πότεχ' αὐτᾷ oben No. 2, 8. — V. 68. ἀπρίξ. ἀντὶ τοῦ ἐμπεφυκότως, ὥςε μὴ διαπρῆσαι τὴν συμφυΐαν, von πρίζω, πρίω binden, befestigen. — V. 70. εἴτι. Valck. αἴ τύ, od. αἴθε, sie wendet sich an einen in der Nähe stehenden Fremden. — V. 73. ἐν καλῷ, wie V. 38. κατὰ γνώμαν. —

ΠΡΑΞΙΝΟΗ.

Κεἰς ὥρας, κἤπειτα, φίλ' ἀνδρῶν, ἐν καλῷ εἴης,
Ἄμμε περιστέλλων. χρηστῶ κ' οἰκτίρμονος ἀνδρός.
Φλίβεται Εὐνόα ἄμμιν· ἄγ', ὦ δειλὰ, τὺ βιάζευ.
Κάλλιστ'. ἐνδοῖ πᾶσαι, ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας.

ΓΟΡΓΩ.

Πραξινόα, πόταγ' ὧδε· τὰ ποικίλα πρᾶτον ἄθρησον
Λεπτὰ καὶ ὡς χαρίεντα· θεῶν περονάματα φασεῖς.

ΠΡΑΞΙΝΟΗ.

Πότνι' Ἀθαναία· ποῖαί σφ' ἐπόνασαν ἔριθοι;
Ποῖοι ζωογράφοι τἀκριβέα γράμματ' ἔγραψαν;
Ὡς ἔτυμ' ἑστάκαντι, καὶ ὡς ἔτυμ' ἐνδινεῦντι.
Ἔμψυχ' οὐκ ἐνυφαντά. Σοφόν τι χρῆμ' ὤνθρωπος·
Αὐτὸς δ' ὡς θαητὸς ἐπ' ἀργυρέω κατάκειται
Κλισμῶ, πρᾶτον ἴουλον ἀπὸ κροτάφων καταβάλλων,
Ὁ τριφίλατος Ἄδωνις, ὃ κὴν Ἀχέροντι φιλεῖται.

ΕΤΕΡΟΣ ΞΕΝΟΣ.

Παύσασθ', ὦ δύστανοι, ἀνάνυτα κωτίλλοισαι
Τρυγόνες· ἐκκναισεῦντι πλατειάσδοισαι ἅπαντα.

— V. 74. 75. κεἰς ὥρας — περιςέλλων: εὐτυχοίης εἰς τὸν μετὰ ταῦτα χρόνον, ἡμᾶς περιέπων — φίλ' ἀνδρῶν, wie das Homerische δῖα θεάων — χρηςῶ — ἀνδρός! seltner Genitiv, ohne ὤ, oder φεῦ. — V. 76. φλίβεται §. 13, A, c, 1. — V. 77. κάλλιςα, absolute, wie vorher ἐν καλῷ — ἐνδοῖ πᾶσαι sprichtwörtlich; so sprach der Vater des Bräutigams, indem er die Brautkammer verschloß, um anzuzeigen, daß der Brautgesang beginnen könnte — πᾶσαι in Beziehung auf Gorgo und Praxinoa — ἀποκλάξας s. ob. V. 33. — V. 78. Die Scene im Innern des Palastes, wo die Frauen die Zubereitungen zum Feste bewundern und die Feier selbst beginnt. πόταγε, wie ἄγε δή. — V. 79. περονάματα (περόνη) opus acu factum, textum Aem. Port. Odyss. X, 222, 223. — V. 80. ἔριθοι. οἱ ὑπουργοί, ἤγουν ἱερουργοί — ἐπόνασαν §. 2, 1, a. — V. 81. ζωογράφοι, ion. Dehnung §. 43, 2. γράμματ' ἔγραψαν in der ursprünglichen Bedeutung, da die erste Schrift Bilderschrift war. — V. 83. σοφόν — ὤνθρωπος. Sophocl. Antig. 365. σοφόν τι τὸ μηχανόεν. — V. 87. 88. κωτίλλοισαι. ἤγουν πολυλογοῦσαι. κωτίλην γὰρ λέγουσι τὴν

ΓΟΡΓΩ.

Μᾶ, πόθεν ὤνθρωπος; τί δὲ τὶν, εἰ κωτίλαι εἰμές;
Πασάμενος ἐπίτασσε· Συρακοσίαις ἐπιτάσσεις;
Ὡς εἰδῇς καὶ τοῦτο, Κορίνθιαι εἰμὲς ἄνωθεν,
Ὡς καὶ ὁ Βελλοροφῶν· Πελοποννασιστὶ λαλεῦμες·
Δωρίσδεν δ' ἔξεστι, δοκῶ, τοῖς Δωριέεσσι.

ΠΡΑΞΙΝΟΗ.

Μὴ φυῇ, Μελιτῶδες, ὃς ἁμῶν καρτερὸς εἴη
Πλὰν ἑνός· οὐκ ἀλέγω, μή μοι κενεὰν ἀπομάξῃς.

χελιδόνα. — τρυγόνες sc. ὡς. — ἐκκναισεῦντι Schol. und Tzetzes διαφθεροῦσιν, φλυαροῦσι. Salmasius vermuthet ἐκκνυζεῦντι ganniunt. Valck. ἐκκνυσδοῦντι (κνάω. κναίω, κνίω, κνίζω, κνύω radere, foedare, corrumpere). Das Futurum stört jedoch nicht. — πλατειάσδοισαι. ἤγουν Δωρίζουσαι πάντα· τὸ γὰρ πλατυάσδοισαι τοιοῦτόν ἐστιν. οἱ γὰρ Δωριεῖς πλατυστομοῦσι τὸ α πλεονάζοντες. — — V. 89. Μᾶ §. 14, A, 3. Eustath. ad Iliad. λ. p. 797, 3. μιμητικὴ φωνὴ καὶ τὸ Μᾶ παρὰ Θεοκρίτῳ — Schol. Cod. Paris. Συρακούσιον τὸ Μᾶ ἐπὶ ἀγανακτήσεως λεγόμενον· wie auch bey den Attikern bisweilen zum Ausdruck des Unwillens Δάματερ gebraucht wird. Aesch. Suppl. v. 897. 906. Μᾶ γᾶ, Himmel, wo kommt ꝛc. quaeso, quid hoc tandem hominis est? — τί δὲ τίν, wie das attische τί τοῦτ' ἐμοί; τί σοι τοῦτ' ἐστίν. — V. 90. πασάμενος, κτησάμενος, Plaut. Persa II, 4, 2. emere oportet, quem tibi obedire velis. — V. 91. Κορίνθιαι. Κορινθίων γὰρ ἄποικοι οἱ Συρακούσιοι ὡς καὶ ὁ Βελλεροφῶν. Κορίνθιος δὲ καὶ ὁ Βελλεροφόντης. — V. 93. Δωριέεσσι §. 20, 7. wo diese Form einzuschalten ist. Vergl. Thucyd. VI, 77. ὅτι οὐκ Ἴωνες τάδε εἰσίν, οὐκ Ἑλλησπόντιοι, καὶ νησιῶται, — ἀλλὰ Δωριεῖς, ἐλεύθεροι ἀπ' αὐτονόμου τῆς Πελοποννήσου τὴν Σικελίαν οἰκοῦντες, in der Rede des Syrakuser Hermokrates. — V. 94. 95. Ἀντὶ τοῦ, μηδεὶς γένοιτο, ὦ Περσεφόνη, ἄλλος ἡμῶν κύριος. Μελιτῶδες δὲ τὴν Περσεφόνην φησὶ κατ' ἀντίφρασιν, ὡς καὶ κόρην· διὰ τὸ τὰς ἑταίρας αὐτῆς καὶ τῆς Δήμητρος, μελίσσας λέγεσθαι· — μή μοι κενεάν (sc. χοίνικα s. κάρδοπον) ἀπομ. Schol. μή μοι κενὸν τὸ μέτρον ἀποψήσῃς. Diese sprichwörtliche Redensart ist von einem Herrn hergenommen, der beym Austheilen der Nahrungsmittel seinem Gesinde das Maas abstreicht: wo nichts zugemessen wird, kann nichts abgestrichen werden.

ΓΟΡΓΩ.

Σίγα, Πραξινόα· μέλλει τὸν Ἄδωνιν ἀείδειν
Ἁ τᾶς Ἀργείας θυγάτηρ πολύϊδρις ἀοιδὸς,
Ἅτις καὶ Σπέρχιν τὸν ἰάλεμον ἠρίστευσε·
Φθεγξεῖταί τι (σάφ' οἶδα) καλόν· διαθρύπτεται ἤδη.

ΓΥΝΗ ΑΟΙΔΟΣ.

Δέσποιν', ἃ Γολγώς τε καὶ Ἰδάλιον ἐφίλασας,
Αἰπεινόν τ' Ἔρυκα, χρυσῷ παίσδοισ' Ἀφροδίτα,
Οἷόν τοι τὸν Ἄδωνιν ἀπ' ἀενάω Ἀχέροντος
Μηνὶ δυωδεκάτῳ μαλακαίποδες ἄγαγον Ὧραι,
Βάρδισται μακάρων, Ὧραι φίλαι, ἀλλὰ ποθειναὶ
Ἔρχονται, πάντεσσι βροτοῖς αἰεί τε φέροισαι.
Κύπρι Διωναία, τὺ μὲν ἀθανάταν ἀπὸ θνατᾶς,
Ἀνθρώπων ὡς μῦθος, ἐποίησας Βερενίκαν,
Ἀμβροσίαν ἐς στῆθος ἀποστάξασα γυναικός·

— V. 96 – 144. Jetzt beginnt der Gesang zu Ehren des Adonis, wo zugleich der Berenike und Arsinoa Lob eingeflochten ist. — V. 98. *Σπέρχιν*, das Object von *ἰάλεμον*, hier als Apposition beygefügt; daher auch Ahlwardt vermuthet *ἅτις κ' εἰς Σπερχ.* Andere denken *ἀείδουσα* dazu. Sehr zweifelhaft, ob dieser Sperchis jener tapfere Spartaner ist, der sich zum Opfer für sein Vaterland darbot, Herod. VII, 134. *Σπερθίης* mit verschiedener Lesart. — Lucian. Demosth. Encom. 32. — V. 99. *διαθρύπτεται ἤδη* ob. No. 2, 15. scheint nach dem Zusammenhange nicht bloßes Gebärdenspiel, sondern auch die präludirenden Töne der begeisterten Sängerin anzudeuten. — V. 100. *Γολγώς* (gew. *Γολγόν*), *πόλις Κύπρου ὠνομασμένη ἀπὸ Γολγοῦ τινος Ἀδώνιδος καὶ Ἀφροδίτης — Ἰδάλιον δὲ πόλις καὶ αὐτὴ Κύπρου.* Catull. in Argonaut. 96. quaeque regis Golgos, quaeque Idalium frondosum. Hor. Od. III, 26, 9. III, 28, 13. — V. 101. *Ἔρυκα. πόλιν Σικελίας, ἀπὸ Ἔρυκος τοῦ Βοιωτοῦ καὶ Ἀφροδίτης — χρυσῷ παίσδοισα* i. e. *χαίρουσα.* — V. 103. *δυωδεκάτῳ. τινὲς δὲ ἐξαμήνου φασὶν ἀνέρχεσθαι τὸν Ἄδωνιν — μαλακαίποδες* §. 9, 1 — V. 106. *Κύπρι Διωναία* (unten No 6, 91.), nach Homer Tochter der Dione, Iliad. V, 370. *Διώνης δῖ' Ἀφροδίτη.* Nach Hesiod dem Meere entstiegen. — V. 107. *Βερενίκαν λέγει τὴν τοῦ Σωτῆρος γυναῖκα, μητέρα δὲ τοῦ Φιλαδέλφου καὶ Ἀρσινόης.* Sie weihte ihr Haar für die glückliche Rückkehr ihres Gemahls Evergetes den Göttern im Tempel der Aphrodite, von wo es

Τὶν δὲ χαριζομένα, πολυώνυμε καὶ πολύναε,
Ἁ Βερενικεία θυγάτηρ, Ἑλένᾳ εἰκυῖα,
Ἀρσινόα πάντεσσι καλοῖς ἀτιτάλλει Ἄδωνιν.
Πὰρ μέν οἱ ὥρια κεῖται, ὅσα δρυὸς ἄκρα φέροντι,
Πὰρ δ᾽ ἁπαλοὶ κᾶποι, πεφυλαγμένοι ἐν ταλαρίσκοις
Ἀργυρέοις, Συρίω δὲ μύρω χρύσει᾽ ἀλάβαστρα·
Εἴδατά θ᾽ ὅσσα γυναῖκες ἐπὶ πλαθάνῳ πονέονται,
Ἄνθεα μίσγοισαι λευκῷ παντοῖ᾽ ἅμ᾽ ἀλεύρῳ·
Ὅσσά τ᾽ ἀπὸ γλυκερῶ μέλιτος, τά τ᾽ ἐν ὑγρῷ ἐλαίῳ,
Πάντ᾽ αὐτῷ πετεηνὰ καὶ ἑρπετὰ τᾶδε πάρεστι.
Χλωραὶ δὲ σκιάδες, μαλακῷ βρίθοισαι ἀνήθῳ,
Δέδμανθ᾽· οἱ δέ τε κῶροι ὑπερποτόωνται Ἔρωτες,
Οἷοι ἀηδονιδῆες ἐφεζόμενοι ἐπὶ δένδρων
Πωτῶνται, πτερύγων πειρώμενοι, ὄζον ἀπ᾽ ὄζῳ.
Ὦ ἔβενος, ὢ χρυσὸς, ὢ ἐκ λευκῶ ἐλέφαντος
Αἰετὼ, οἰνοχόον Κρονίδᾳ Διῒ παῖδα φέροντες.

entwendet und (von dem Astronomen Konon) unter die Sterne versetzt wurde. Theokr. Id. 17, 46—50 besingt ihre Vergötterung. Kallimachos Locke der Berenike, von Catullus (65.) erhalten. Folgendes Epigramm des Kallimachos (55.) soll gleichzeitig mit dieser Idylle seyn und charakterisirt den Dichter und seine Zeit:

Τέσσαρες αἱ Χάριτες· ποτὶ γὰρ μία ταῖς τρισὶ κείναις
Ἄρτι ποτ᾽ ἐπλάσθη, κἤτι μύροισι νοτεῖ,
Εὐαίων ἐν πᾶσιν ἀρίζηλος Βερενίκα,
Ἇς ἄτερ οὐδ᾽ αὐταὶ ταὶ Χάριτες Χάριτες.

— V. 111. *ἀτιτάλλει* Schol. *δεξιοῦται.* — V. 112. *δρυὸς ἄκρα. πάντα, φησὶ, τὰ ἀκρόδρυα περιτίθενται τῷ Ἀδώνιδι, ἀπὸ παντοίας ἰδέας ὀπωρῶν. εἰώθασι γὰρ ἐν τοῖς Ἀδωνίοις πυροὺς καὶ κριθὰς σπείρειν ἔν τισι προαςείοις καὶ τοὺς φυτευθέντας κήπους Ἀδωνίους προσαγορεύειν.* — V. 115. *πλάθανος* und *πλάθανον*, auch *πλάθαναι.* Schol. *ἐν αἷς διαπλάττουσι τοὺς ἄρτους*, Pfanne. — V. 116. *ἄνθεα τὰ ἐπιπάμματα τῶν ἄρτων. λέγει δὲ τὰ σήσαμα* (ein Schotengewächs, woraus Oel gepreßt wird im Orient). — V. 118. *ἑρπετὰ* (vergleiche V. 26.) *βαδίζοντα, πάντα τὰ τετράποδα.* — V. 120. *ὑπερποτόωνται* s. V. 81. — V. 121. *ἀηδονιδῆες* §. 23, 3. Odyss. XIX, 520. — V. 123. 124. *ὢ* der Verwunderung (von *ὤζειν*), selten mit dem Nominativ, gew. mit dem Genitiv, ferner *ἔβενος ὤ* — dazu *αἰετώ*, da die Entführung Ganymed's immer nur durch einen Adler

Πορφύρεοι δὲ τάπητες ἄνω, μαλακώτεροι ὕπνω·
Ἁ Μίλατος ἐρεῖ, χὡ τὰν Σαμίαν καταβόσκων.
Ἔστρωται κλίνα τῷ Ἀδώνιδι τῷ καλῷ ἄλλα·
Τὰν μὲν Κύπρις ἔχει, τὰν δ᾽ ὁ ῥοδόπαχυς Ἄδωνις,
Ὀκτωκαιδεκέτης ἢ ἐννεακαίδεχ᾽ ὁ γαμβρός.
Οὐ κεντεῖ τὸ φίλαμ᾽· ἔτι οἱ περὶ χείλεα πυῤῥά.
Νῦν μὲν Κύπρις ἔχοισα τὸν αὑτᾶς χαιρέτω ἄνδρα.
Ἀῶθεν δ᾽ ἄμμες νιν ἅμα δρόσῳ ἀθρόαι ἔξω
Οἰσεῦμες ποτὶ κύματ᾽ ἐπ᾽ ἀϊόνι πτύοντα·
Λύσασαι δὲ κόμαν, καὶ ἐπὶ σφυρὰ κόλπον ἀνεῖσαι,
Στήθεσι φαινομένοις, λιγυρᾶς ἀρξώμεθ᾽ ἀοιδᾶς·
Ἕρπεις, ὦ φίλ᾽ Ἄδωνι, καὶ ἐνθάδε, κεἰς Ἀχέροντα,
Ἁμιθέων (ὡς φαντὶ) μονώτατος· οὔτ᾽ Ἀγαμέμνων
Τοῦτ᾽ ἔπαθ᾽, οὔτ᾽ Αἴας ὁ μέγας βαρυμάνιος ἥρως,
Οὔθ᾽ Ἕκτωρ Ἑκάβας ὁ γεραίτατος εἴκατι παίδων,
Οὐ Πατροκλῆς, οὐ Πύῤῥος ἀπὸ Τροίας ἐπανελθὼν,
Οὔθ᾽, οἱ ἔτι πρότεροι, Λαπίθαι, καὶ Δευκαλίωνες,

vorgestellt wird, veranlaßte die Vermuthung: ὦ ἐβένω, ὦ χρυσῶ — αἰετῶ φέροντος Eldik. Valcken. — αἰετώ. Schol. ὡς πεποικιλμένων ἀετῶν ἐλεφαντίνων καὶ βαςαζόντων τὸν Γανυμήδην. — V. 125 — 127. μαλακώτεροι ὕπνω Virg. Eclog. VII, 45. somus mollior herba. ὡς μαλακῶν ταπήτων ὑπεςρωμένων τῇ κλίνῃ τῆς Ἀφροδίτης. οὓς φησιν ὑπὸ τῆς Μιλήτου καὶ Σάμου ῥηθήσεσθαι μαλακωτέρους ὕπνου, διὰ τὸ παρ᾽ αὐτοῖς εἰς κάλλος τὰ ςρώματα γίνεσθαι. Valck. vermuthet πορφυρέοις δὲ τάπησιν ἄνω (μαλακωτέρος — καταβόσκων) ἔςρωται κλίνα. Catull. epithal. Thet. et Pel. 47 sqq. — V. 129. ὀκτωκαιδεκέτης §. 78, 2. — V. 130. τὸ φίλαμα sc. τοῦ γαμβροῦ — πυῤῥά. Neutr. pl. für ἡ πυῤῥὰ λάχνη oder πυῤῥὸς ἴουλος; dann bedarf es nicht der Brunckischen Aenderung: ἐπεὶ οὔ οἱ χείλεα πυῤῥά, Tibull. 1, 8, 31. — V. 133. οἰσεῦμες. ἐπὶ γὰρ τὴν θάλασσαν ἐκφέροντες τὸν Ἄδωνιν, ἔῤῥιπτον ἐπ᾽ αὐτήν (ἐπ᾽ αὐτῇ). — V. 136. Dieser Gesang fiel auf den zweyten Tag der Feier. — V. 139 εἴκατι (§. 27, 4. vergl. A. No. 3, 3, 8) ὡς καὶ Σιμωνίδης. Ὅμηρος δὲ ἐννεακαίδεκα λέγει Iliad. ω, 496. — V. 140. Πύῤῥος, Achilleus Sohn, auch Neoptolemos. — V. 141. Λαπίθαι ein uraltes thessalisches Volk, in stete Kriege mit den Kentauren verwickelt. — Δευκαλίωνες ἀντὶ τοῦ Δευκαλίδαι. ἀπὸ Δευκαλίωνες Θεσσαλοῦ — Πελοπηϊάδαι §. 23, 2.

Οὐ Πελοπηϊάδαι τε, καὶ Ἄργεος ἄκρα Πελασγοί.
Ἵλαθι νῦν, φίλ' Ἄδωνι, καὶ ἐς νέωτ' εὐθυμήσαις.
Καὶ νῦν ἦνθες, Ἄδωνι, καὶ, ὅκκ' ἀφίκῃ, φίλος ἡξεῖς.

ΓΟΡΓΩ.

Πραξινόα, τὸ χρῆμα σοφώτερον. ἁ θήλεια
Ὀλβία, ὅσσα ἴσατι, πανολβία, ὡς γλυκυφωνεῖ.
Ὥρα ὅμως κ' εἰς οἶκον· ἀνάριστος Διοκλείδας.
Χὡνὴρ ὄξος ἅπαν· πεινᾶντι δὲ μηδὲ ποτένθῃς.
Χαῖρε, Ἄδων' ἀγαπατὲ, καὶ ἐς χαίροντας ἀφικνεῦ.

No. 6. ΕΠΙΤΑΦΙΟΣ ΑΔΩΝΙΔΟΣ.

Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις.
Ὤλετο καλὸς Ἄδωνις, ἐπαιάζουσιν Ἔρωτες.
Μηκέτι πορφυρέοις ἐνὶ φάρεσι, Κύπρι, κάθευδε·
Ἔγρεο δειλαία κυανοστόλε, καὶ πλατάγησον
Στάθεα, καὶ λέγε πᾶσιν, ἀπώλετο καλὸς Ἄδωνις.
Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
Κεῖται καλὸς Ἄδωνις ἐπ' ὤρεσι, μηρὸν ὀδόντι
Λευκῷ λευκὸν ὀδόντι τυπεὶς, καὶ Κύπριν ἀνιῇ

V. 142. Ἀργ. ἄκρα Πελασγοί, seltner Ausdruck für ἄκροι i. e. ἔσχατοι, πρῶτοι Πελασγ. wie Eurip. Suppl. 120. ἄνδρες Ἀργείων ἄκροι. — V. 143. ἵλαθι §. 60, C, 2. — V. 146. ὅσσα ἴσατι (§. 37, III.), in Beziehung auf den Gesang und die Bekanntschaft mit den alten Heroen. — V. 148. ὄξος ἄγαν — al. ὀξὺς ἄγαν. Valck. ὄξος ἅπαν, wie V. 20. ἅπαν ῥύπον. — πεινᾶντι §. 11, 1. — V. 149. in Beziehung auf V. 136. vergl. No. 6, 96. —

No. 6. Bion. Id. I. Ein Klaggesang auf den zum Acheron hinabgestiegenen Adonis siehe vorher No. 5. — V. 1. αἰάζω, der bey der Todtenfeyer des Adonis gewöhnliche Klagruf war αἲ αἲ (τὸν Ἄδωνιν); der Dichter läßt ihn in bestimmten Zwischenversen wehmüthig wiedertönen. — V. 2. Ἔρωτες s. No. 5, 120. — V. 3. No. 5, 125. — V. 7. ὀδόντι scheint wegen der Wiederholung in V. 8. einigen müßig, daher Ruard's Vermuthung Ἄδωνις; es hat aber wegen des doppelten λευκόν noch Bedeutung.

Λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεται αἷμα
Χιονέας κατὰ σαρκός· ὑπ᾽ ὀφρύσι δ᾽ ὄμματα ναρκῇ,
Καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ
Θνάσκει καὶ τὸ φίλαμα, τὸ μήποτε Κύπρις ἀφήσει.
Κύπριδι μὲν τὸ φίλαμα καὶ οὐ ζώοντος ἀρέσκει,
Ἀλλ᾽ οὐκ οἶδεν Ἄδωνις, ὅ μιν θνάσκοντ᾽ ἐφίλασεν.
Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες·
Ἄγριον, ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις·
Μεῖζον δ᾽ ἁ Κυθέρεια φέρει ποτικάρδιον ἕλκος.
Κεῖνον μὲν περὶ παῖδα φίλοι κύνες ὠρύσαντο,
Καὶ Νύμφαι κλαίουσιν Ὀρειάδες. ἁ δ᾽ Ἀφροδίτα,
Λυσαμένα πλοκαμῖδας, ἀνὰ δρυμὼς ἀλάληται
Πενθαλέα, νήπλεκτος, ἀσάνδαλος· αἱ δὲ βάτοι νιν
Ἐρχομέναν κείροντι, καὶ ἱερὸν αἷμα δρέπονται·
Ὀξὺ δὲ κωκύουσα δι᾽ ἄγκεα μακρὰ φορεῖται,
Ἀσσύριον βοόωσα πόσιν, καὶ παῖδα καλεῦσα.
Ἀμφὶ δέ μιν μέλαν αἷμα παρ᾽ ὀμφαλὸν ᾐωρεῖτο,
Στάθεα δ᾽ ἐκ μηρῶν φοινίσσετο, οἱ δ᾽ ὑπομαζοὶ
Χιόνεοι τὸ πάροιθεν Ἀδώνιδι πορφύροντο.
Αἶ αἶ τὰν Κυθέρειαν, ἐπαιάζουσιν Ἔρωτες.
Ὤλεσε τὸν καλὸν ἄνδρα, συνώλεσεν ἱερὸν εἶδος.
Κύπριδι μὲν καλὸν εἶδος, ὅτε ζώεσκεν Ἄδωνις,

— V. 9. εἴβεται §. 44, 7. Anm. — V. 14. ὅ μιν, wie oft bey den Epikern, f. ὅτι μιν, und quod im Lateinischen. So auch ὅ f. ὅς §. 58. wie unten V. 57. und eben so mit der Kraft von ὄφρα, ὅπως. θνάσκοντα, wie V 12. θνάσκει (V. 58) hat den Begriff des Nichtmehrseyns, und wird in V. 13. durch οὐ ζώοντα erklärt. So werden τὰ ζῶντα und τὰ θνήσκοντα animata et inanimata sich entgegengesetzt. Sophocl. Philoct. 1084. 1085 ἀλλ᾽ ἐμοὶ καὶ θνήσκοντι (θανόντι) συνοίσει. — Auch steht ähnlich πίπτων für πεσών Hom. Iliad. X, 199. 200. νεκύων – πιπτόντων. — V. 18. κύνες, die ihn auf der Jagd begleiteten, wo er von dem Eber getödtet wurde. — V. 20–25. im Gegensatz von No. 5, 131. und der vorhergehenden Schilderung des geschmückten Lagers. — Ἀσσύριον, Kinyras (V. 89.), Adonis Vater, König von Syrien, welches in der Dichtersprache oft mit Assyrien vertauscht wird. βοόωσα oben No. 4, 38. — V. 30. ζώεσκεν §. 32, B, 6.

Κάτθανε δ' ἁ μορφὰ σὺν Ἀδώνιδι Κύπριδος, αἲ αἴ.
Ὤρεα πάντα λέγοντι, καὶ αἱ δρύες, Αἲ τὸν Ἄδωνιν.
Καὶ ποταμοὶ κλαίοντι τὰ πένθεα τᾶς Ἀφροδίτας,
Καὶ παγαὶ τὸν Ἄδωνιν ἐν ὤρεσι δακρύοντι,
Ἄνθεα δ' ἐξ ὀδύνας ἐρυθαίνεται· ἁ δὲ Κυθήρα
Πάντας ἀνὰ κναμὼς, ἀνὰ πᾶν νάπος οἰκτρὸν ἀείδει.
Αἲ αἲ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
Ἀχὼ δ' ἀντεβόασεν, ἀπώλετο καλὸς Ἄδωνις.
Κύπριδος αἰνὸν ἔρωτα τίς οὐκ ἔκλαυσεν ἄν; αἲ αἴ.
Ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος,
Ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
Πάχεας ἀμπετάσασα, κινύρετο, Μεῖνον Ἄδωνι,
Δύςποτμε μεῖνον Ἄδωνι, πανύστατον ὥς σε κιχείω,
Ὥς σε περιπτύξω, καὶ χείλεα χείλεσι μίξω.
Ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ' αὖ πύματόν με φίλασον.
Τοσσοῦτόν με φίλασον, ὅσον ζώει τὸ φίλαμα·
Ἄχρις ἀπὸ ψυχῆς ἐς ἐμὸν στόμα κεὶς ἐμὸν ἧπαρ
Πνεῦμα τεὸν ῥεύσῃ, τὸ δὲ σεῦ γλυκὺ φίλτρον ἀμέλξω,
Ἐκ δὲ πίω τὸν ἔρωτα· φίλαμα δὲ τοῦτο φυλάξω
Ὡς αὐτὸν τὸν Ἄδωνιν· ἐπεὶ σύ με, δύςμορε, φεύγεις.
Φεύγεις μακρὸν, Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα
Καὶ στυγνὸν βασιλῆα καὶ ἄγριον· ἁ δὲ τάλαινα
Ζώω, καὶ θεὸς ἐμμὶ, καὶ οὐ δύναμαί σε διώκειν.
Λάμβανε, Περσεφόνα, τὸν ἐμὸν πόσιν, ἐσσὶ γὰρ αὐτὰ
Πολλὸν ἐμεῦ κρέσσων· τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταῤῥεῖ.
Εἰμὶ δ' ἐγὼ πανάποτμος, ἔχω δ' ἀκόρεστον ἀνίην,
Καὶ κλαίω τὸν Ἄδωνιν, ὅ μοι θάνε, καὶ σὲ φοβεῦμαι.
Θνάσκεις, ὦ τριπόθατε· πόθος δέ μοι ὡς ὄναρ ἔπτη.

— V. 31—37. In dem idyllischen Leben theilt die Natur Schmerzen und Freuden. So bey dem Hingange des Daphnis No. 4, 132—136; im Gegentheil No. 3, 41—45. — V. 35. ἄνθεα — ἐρυθαίνεται. Die weißen Blumen rötheten sich nach dem Mythos, wenn sie trauerten. Vergl. V. 66. — V. 40. Das wiederholte ὡς s. I, 2, 7. — V. 43. κιχείω §. 61, 1, b. — V. 45. φίλασον oben No. 3, 7. τοσσοῦτον No. 4, 78 — V. 52. ἐς βασιλῆα für πρὸς auch bey Personen V. 55. und No. 5, 149. — V. 53. ζώω §. 43, 2. — V. 55. κρέσσων §. 54, 4, b. — V. 58. πόθος, der Gegenstand des Sehnens, wie

Χήρη δ᾽ ἁ Κυθέρεια, κενοὶ δ᾽ ἀνὰ δώματ᾽ Ἔρωτες.
Σοὶ δ᾽ ἅμα κεστὸς ὄλωλε, τί γὰρ τολμηρὲ κυνάγεις;
Καλὸς ἐὼν τοσσοῦτον ἐμήναο θηρσὶ παλαίειν;
Ὧδ᾽ ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες,
Αἴ αἴ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
Δάκρυον ἁ Παφία τόσσον χέει; ὅσσον Ἄδωνις
Αἷμα χέει· τὰ δὲ πάντα ποτὶ χθονὶ γίγνεται ἄνθη.
Αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν
  Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις.
Μηκέτ᾽ ἐνὶ δρυμοῖσι τὸν ἀνέρα μύρεο, Κύπρι.
Ἔστ᾽ ἀγαθὰ στιβὰς, ἔστιν Ἀδώνιδι φυλλὰς ἑτοίμα·
Λέκτρον ἔχει, Κυθέρεια, τὸ σὸν τόδε νεκρὸς Ἄδωνις.
Καὶ νέκυς ὢν καλός ἐστι, καλὸς νέκυς, οἷα καθεύδων.
Κάτθεό νιν μαλακοῖς ἐνὶ φάρεσιν, οἷς ἐνίαυεν,
ἀνέρος §. 67, 3, c. — οὗ δή — ἢ εἰν ἁλὶ κῦμα κυλίνδει sc. λεύκ᾽ ὀςέα, was als Nominativ vorausging; man erwartete κυλίνδεται. Mit gleicher Freiheit, wie im Formenwechsel, schweift die epische Poesie auch in einer angefangenen Verbindungsreihe oft plötzlich ab durch Veränderung des Subjects, oder Objects, vorzüglich in der Construction mit Relativen. Od. β'. 54. δοίη δ᾽ (sc. θυγατέρα) ᾧ κ᾽ ἐθέλοι, καὶ οἱ κεχαρισμένος ἔλθοι. so β', 114. Iliad. ε, 245 sqq. Ἰθάκηνδε, was unten V. 172. εἰς Ἰθάκην s. V. 83. — ἐλαφρότεροι πόδας — ἢ ἀφνειότεροι, in beyden Gliedern Comparative, war auch noch späterer Sprachgebrauch. Herod. III, 65. ἐποίησα ταχύτερα ἢ σοφώτερα. Plat. Theaet. p. 52. οἱ ὀξεῖς καὶ ἀγχίνοι καὶ μνήμονες — μανικώτεροι ἢ ἀνδρειότεροι φύονται. Beyde Glieder haben dann immer wieder einen gemeinsamen Vergleichungspunkt, der in der Gedankenreihe unterdrückt ist, als jetzt ꝛc. — ἀπόλωλε κακὸν μόρον (gr. Acc.) der Accusativ κ. μ. verhält sich eben so zu ἀπολ. in innerer Beziehung (Object.), wie πόδας zu ἐλαφρότεροι. Die Schnelle ist in Beziehung auf (was betrifft) die Füße, der Tod in Bez. auf das böse Geschick zu denken. Beyde Accusative sind wirkende Ursache, folglich kann auch ein Zustand auf sie, als Object, bezogen werden. Wir helfen in solchen Fällen, gewohnt immer eine äußere Beziehung zu denken, durch Präpositionen nach — hier z. B. mit durch, an. So ist auch der griechische Accusativ bey Passivis zu erklären. vergl. unten V. 208. — V. 170—177. πόθι τοι (V. 60) §. 51, g. §. 28, 1. ἤγαγον §. 59, B, 6, a. ὁπποίης §. 44, 6. εὐχετόωνται s. V. 25. 32.

καί μοι τοῦτ᾽ ἀγόρευσον ἐτήτυμον, ὄφρ᾽ εὖ εἰδῶ·
ἠὲ νέον μεθέπεις, ἦ καὶ πατρώϊός ἐσσι
ξεῖνος; ἐπεὶ πολλοὶ ἴσαν ἀνέρες ἡμέτερον δῶ
ἄλλοι, ἐπεὶ καὶ κεῖνος ἐπίστροφος ἦν ἀνθρώπων.
Τὸν δ᾽ αὖτε προςέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
τοιγὰρ ἐγώ τοι ταῦτα μάλ᾽ ἀτρεκέως ἀγορεύσω.
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω.
νῦν δ᾽ ὧδε ξὺν νηῒ κατήλυθον ἠδ᾽ ἑτάροισιν,
πλέων ἐπὶ οἴνοπα πόντον ἐπ᾽ ἀλλοθρόους ἀνθρώπους,
ἐς Τεμέσην μετὰ χαλκόν, ἄγω δ᾽ αἴθωνα σίδηρον.
νηῦς δέ μοι ἥδ᾽ ἕστηκεν ἐπ᾽ ἀγροῦ νόσφι πόληος,
ἐν λιμένι Ῥείθρῳ, ὑπὸ Νηΐῳ ὑλήεντι.
ξεῖνοι δ᾽ ἀλλήλων πατρώϊοι εὐχόμεθ᾽ εἶναι
ἐξ ἀρχῆς, εἴπερ τε γέροντ᾽ εἴρηαι ἐπελθὼν
Λαέρτην ἥρωα· τὸν οὐκέτι φασὶ πόλινδε
ἔρχεσθ᾽, ἀλλ᾽ ἀπάνευθεν ἐπ᾽ ἀγροῦ πήματα πάσχειν
γρηῒ σὺν ἀμφιπόλῳ, ἥ οἱ βρῶσίν τε πόσιν τε
παρτιθεῖ, εὖτ᾽ ἄν μιν κάματος κατὰ γυῖα λάβῃσιν,

ὀΐομαι, πατρώϊος § 42, 1. ἔσσί §. 65, II. ἴσαν §. 65, III, 2. δῶ §. 14, A, 3. ἐπίςροφος. ἐςι δὲ... μέση λέξις (vox media). πάθος τε γὰρ δηλοῖ καὶ ἐνέργειαν. Eust. — V. 178—186. προςέειπε §. 59, A, 2. ἀτρεκέως §. 66. A, 1. ἀτάρ, voller αὐτάρ 150, im Nachsatze gleich δέ — νηΐ V. 191. γρηΐ § 51, a. πλέων Synizese, wie öfters ε mit dem folgenden Vokal, oder Diphthong bildet: ῥέα, νέα, τέω ꝛc. Τεμέσην, πόλιν ἐν Οἰνότροις ἡ νῦν Τέμψον (Temsa et Tempsa) καλουμένη, ἢ Βρεντησία (Βρουτήσιον al. Brundusium). Daher Ovid. Met. VII, 214. Temesaea aera. Fast. V, 441. Ihre Lage ist ungewiß, sicher aber nicht die Stadt auf Kypros — Πόληος §. 50, B, 5. ἐν λιμ. Ῥείθρῳ an der Westseite von Ithaka. ὑπὸ Νηΐῳ ὑλ. διαφέρει Νήριτον καὶ Νήϊον. δύο δέ ἐςιν ὄρη τῆς Ἰθάκης· Od. ν', 351. τοῦτο δὲ Νήριτόν ἐςιν, ὄρος καταειμένον ὕλῃ. Od. γ', 81. ἡμεῖς δ᾽ ἐξ Ἰθάκης ὑπὸ Νηΐου εἰλήλουθμεν. Neritos liegt dann südlich von Neios. Eustathius führt die Meinung Anderer an, nach welchen Neritos das Hauptgebirge und Neios ein Schenkel desselben sey.

V. 187—195. εἴρηαι §. 35. 1. episch schon im Präsens εἴρω. — παρτιθεῖ (V. 132) §. 64, 1. mit §. 36, 7. εὖτ᾽ ἄν i. e. ὅταν. λάβῃσι s. V. 77.

ἑρπύζοντ᾽ ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.
νῦν δ᾽ ἦλθον· δὴ γάρ μιν ἔφαντ᾽ ἐπιδήμιον εἶναι,
σὸν πατέρ᾽· ἀλλά νυ τόνγε θεοὶ βλάπτουσι κελεύθου.
οὐ γάρ πω τέθνηκεν ἐπὶ χθονὶ δῖος Ὀδυσσεύς,
ἀλλ᾽ ἔτι που ζωὸς κατερύκεται εὐρέϊ πόντῳ,
νήσῳ ἐν ἀμφιρύτῃ· χαλεποὶ δέ μιν ἄνδρες ἔχουσιν,
ἄγριοι, οἵ που κεῖνον ἐρυκανόωσ᾽ ἀέκοντα.
αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι, ὡς ἐνὶ θυμῷ
ἀθάνατοι βάλλουσι, καὶ ὡς τελέεσθαι ὀΐω,
οὔτε τι μάντις ἐών, οὔτ᾽ οἰωνῶν σάφα εἰδώς·
οὔτοι ἔτι δηρόν γε φίλης ἀπὸ πατρίδος αἴης
ἔσσεται, οὐδ᾽ εἴπερ τε σιδήρεα δέσματ᾽ ἔχῃσιν·
φράσσεται ὥς κε νέηται, ἐπεὶ πολυμήχανός ἐστιν.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
εἰ δὴ ἐξ αὐτοῖο τόσος παῖς εἶς Ὀδυσῆος.
αἰνῶς γὰρ κεφαλήν τε καὶ ὄμματα καλὰ ἔοικας
κείνῳ, ἐπεὶ θαμὰ τοῖον ἐμισγόμεθ᾽ ἀλλήλοισιν,
πρίν γε τὸν ἐς Τροίην ἀναβήμεναι, ἔνθα περ ἄλλοι
Ἀργείων οἱ ἄριστοι ἔβαν κοίλῃς ἐνὶ νηυσίν·
ἐκ τοῦδ᾽ οὔτ᾽ Ὀδυσῆα ἐγὼν ἴδον, οὔτ᾽ ἐμὲ κεῖνος.
Τὴν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ᾽ ἀτρεκέως ἀγορεύσω.
μήτηρ μέν τ᾽ ἐμέ φησι τοῦ ἔμμεναι· αὐτὰρ ἔγωγε
οὐκ οἶδ᾽· οὐ γάρ πώ τις ἑὸν γόνον αὐτὸς ἀνέγνω.
ὡς δὴ ἔγωγ᾽ ὄφελον μάκαρός νύ τευ ἔμμεναι υἱὸς
ἀνέρος, ὃν κτεάτεσσιν ἑοῖς ἔπι γῆρας ἔτετμεν·
νῦν δ᾽, ὃς ἀποτμότατος γένετο θνητῶν ἀνθρώπων,
τοῦ μ᾽ ἔκ φασι γενέσθαι· ἐπεὶ σύ με τοῦτ᾽ ἐρεείνεις.
Τὸν δ᾽ αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
οὐ μέν τοι γενεήν γε θεοὶ νώνυμνον ὀπίσσω

ἑρπύζοντα. βραδέως βαδίζοντα. βλάπτουσι· ἐμποδίζουσι, ähnlich wird σφάλλω gebraucht II, E, 1.

V. 201. τελέεσθαι §. 60. A, 2. V. 207. τόσος, wie gleich τοῖον, geht ohne bestimmte Beziehung immer auf die Gegenwart, wie jetzt, wie hier.

V. 211. ἔβαν §. 36, 8. V. 216. ἑόν, ἑοῖς §. 57, 1. V. 217. ὡς δή s. oben V. 16. τευ §. 31, 1. — V. 222. νώνυμνον §. 45, 4. b.

θῆκαν· ἐπεὶ σέγε τοῖον ἐγείνατο Πηνελόπεια.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
τίς δαίς, τίς δὲ ὅμιλος ὅδ' ἔπλετο; τίπτε δέ σε χρεώ;
εἰλαπίνη ἠὲ γάμος; ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν.
ὥστε μοι ὑβρίζοντες ὑπερφιάλως δοκέουσιν
δαίνυσθαι κατὰ δῶμα· νεμεσσήσαιτό κεν ἀνὴρ,
αἴσχεα πόλλ' ὁρόων, ὅστις πινυτός γε μετέλθοι.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ξεῖν'· ἐπεὶ ἂρ δὴ ταῦτά μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς·
μέλλεν μέν ποτε οἶκος ὅδ' ἀφνειὸς καὶ ἀμύμων
ἔμμεναι, ὄφρ' ἔτι κεῖνος ἀνὴρ ἐπιδήμιος ἦεν·
νῦν δ' ἑτέρως ἐβάλοντο θεοὶ κακὰ μητιόωντες,
οἳ κεῖνον μὲν ἄϊστον ἐποίησαν περὶ πάντων
ἀνθρώπων. ἐπεὶ οὔ κε θανόντι περ ὧδ' ἀκαχοίμην,
εἰ μετὰ οἷς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ,
ἠὲ φίλων ἐν χερσίν, ἐπεὶ πόλεμον τολύπευσεν·
τῷ κέν οἱ τύμβον μὲν ἐποίησαν Παναχαιοί,
ἠδέ κε καὶ ᾧ παιδὶ μέγα κλέος ἤρατ' ὀπίσσω.
νῦν δέ μιν ἀκλειῶς Ἅρπυιαι ἀνηρείψαντο·
ᾤχετ' ἄϊστος, ἄπυστος, ἐμοὶ δ' ὀδύνας τε γόους τε

V. 223–29. σέγε V. 226. τάδε γε s. V. 46. 47 τοῖον s. V. 209. Πηνελόπεια §. 48, 2. χρεώ s. V. 124. δοκέουσιν §. 63, 2. κέν §. 66, C, a. — ὅςις — μετέλθοι andre Wendung für εἴ τις s. II, E, 1, 10. — V. 232. μέλλεν ποτέ — ἔμμεναι. μέλλειν wird im Homer auch von dem gebraucht, was sich einst ereignete, wie ποτέ auf die Zukunft und Vergangenheit geht; also hier nachdrücklicher, als ἦν: es mochte einst seyn ꝛc. Iliad. ν, 776. ἄλλοτε δή ποτε μᾶλλον ἐρωῆσαι πολέμοιο μέλλω, sonst mag ich wohl einmal lässig seyn (bin ich wohl einmal gewesen) ꝛc. aber ferner nicht mehr; es liegt also immer die Aussicht auf die Zukunft darin. — V. 234. ἐβάλοντο. Die Vermuthung ἐβόλοντο erklärt auch die Lesart des Scholiasten ἐβούλοντο. Vgl. Od π' 387. βόλεσθε. §. 6, 2. — V. 241–245. Ἅρπυιαι nicht die späteren Mißgestalten des Virgil (Aen. III, 210.), sondern ἄνεμοι ἁρπακτικοί, ἢ ὄρνεα ἁρπακτικά, überhaupt furchtbare Erscheinungen aus der Luft; sie blieben auch späterhin sprichwörtlich von dem unerklärbaren Verschwinden eines Menschen. — ἀκλειῶς, 338 κλείουσιν, s. V. 141. κρειῶν.

κάλλιπεν· οὐδ᾽ ἔτι κεῖνον ὀδυρόμενος στεναχίζω
οἶον, ἐπεί νύ μοι ἄλλα θεοὶ κακὰ κήδε᾽ ἔτευξαν.
ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
ἠδ᾽ ὅσσοι κραναὴν Ἰθάκην κατακοιρανέουσιν,
τόσσοι μητέρ᾽ ἐμὴν μνῶνται, τρύχουσι δὲ οἶκον.
ἡ δ᾽ οὔτ᾽ ἀρνεῖται στυγερὸν γάμον, οὔτε τελευτὴν
ποιῆσαι δύναται· τοὶ δὲ φθινύθουσιν ἔδοντες
οἶκον ἐμόν· τάχα δή με διαῤῥαίσουσι καὶ αὐτόν.
Τὸν δ᾽ ἐπαλαστήσασα προςηύδα Παλλὰς Ἀθήνη·
ὢ πόποι, ἦ δὴ πολλὸν ἀποιχομένου Ὀδυσῆος
δεύῃ, ὅ κε μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφείη.
εἰ γὰρ νῦν ἐλθών, δόμου ἐν πρώτῃσι θύρῃσιν
σταίη, ἔχων πήληκα καὶ ἀσπίδα καὶ δύο δοῦρε,
τοῖος ἐών, οἷόν μιν ἐγὼ τὰ πρῶτ᾽ ἐνόησα,
οἴκῳ ἐν ἡμετέρῳ πίνοντά τε τερπόμενόν τε,
ἐξ Ἐφύρης ἀνιόντα παρ᾽ Ἴλου Μερμερίδαο·
ᾤχετο γὰρ καὶ κεῖσε θοῆς ἐπὶ νηὸς Ὀδυσσεύς,
φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη
ἰοὺς χρίεσθαι χαλκήρεας· ἀλλ᾽ ὁ μὲν οὔ οἱ
δῶκεν, ἐπεί ῥα θεοὺς νεμεσίζετο αἰὲν ἐόντας·
ἀλλὰ πατήρ οἱ δῶκεν ἐμός· φιλέεσκε γὰρ αἰνῶς·
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς,
πάντες κ᾽ ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
ἀλλ᾽ ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,

κάλλιπεν §. 38, B, 2. — V 246. Diese Inseln umgeben Ithaka in einem Halbkreise. Die erste Sylbe von Ζάκυνθος macht im Homer für das vorhergehende Wort keine Position. — V. 251. με — αὐτόν, wie in V. 17. — V. 252—259 δεύῃ §. 1, B, 2. mit §. 40. ὅ — ἐφείη f. 11, D, 6, 14. δοῦρε §. 51, b. ἐξ Ἐφύρης. Es gab mehrere Oerter dieses Namens; Korinth 1, 9, 17. in Thessalien am Silleis, in Thesprotia ꝛc. πολυφάρμακοι, weil dort Medea gewesen. Nach Strabo ist hier Ephyre in Elis am Silleis gemeint, wo bekannte Giftkräuter wuchsen. — V. 261. διζήμενος §. 36, 1, c. — V. 267. θεῶν ἐν γούνασι κεῖται liegt in der Götter Macht, da die Kniee bey den Alten der Sitz der Kraft sind. Iliad. ρ', 514. folgt gleich darauf τὰ δέ κεν Διῒ πάντα μελήσει.

ἤ κεν νοστήσας ἀποτίσεται, ἠὲ καὶ οὐκί,
οἷσιν ἐνὶ μεγάροισι· σὲ δὲ φράζεσθαι ἄνωγα,
ὅππως κε μνηστῆρας ἀπώσεαι ἐκ μεγάροιο.
εἰ δ', ἄγε νῦν ξυνίει, καὶ ἐμῶν ἐμπάζεο μύθων·
αὔριον εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιούς,
μῦθον πέφραδε πᾶσι, θεοὶ δ' ἐπιμάρτυροι ἔστων.
μνηστῆρας μὲν ἐπὶ σφέτερα σκίδνασθαι ἄνωχθι·
μητέρα δ', εἴ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι,
ἂψ ἴτω ἐς μέγαρον πατρὸς μέγα δυναμένοιο·
οἱ δὲ γάμον τεύξουσι, καὶ ἀρτυνέουσιν ἔεδνα
πολλὰ μάλ', ὅσσα ἔοικε φίλης ἐπὶ παιδὸς ἕπεσθαι.
σοὶ δ' αὐτῷ πυκινῶς ὑποθήσομαι, αἴ κε πίθηαι·
νῆ' ἄρσας ἐρέτῃσιν ἐείκοσιν, ἥτις ἀρίστη,
ἔρχεο πευσόμενος πατρὸς δὴν οἰχομένοιο·
ἤν τίς τοι εἴπῃσι βροτῶν, ἢ ὄσσαν ἀκούσῃς
ἐκ Διός, ἥτε μάλιστα φέρει κλέος ἀνθρώποισιν.
πρῶτα μὲν ἐς Πύλον ἐλθέ, καὶ εἴρεο Νέστορα δῖον·
κεῖθεν δὲ Σπάρτηνδε παρὰ ξανθὸν Μενέλαον·
ὃς γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων.
εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσῃς,
ἦ τ' ἄν, τρυχόμενός περ, ἔτι τλαίης ἐνιαυτόν·
εἰ δέ κε τεθνηῶτος ἀκούσῃς, μηδ' ἔτ' ἐόντος,
νοστήσας δὴ ἔπειτα φίλον ἐς πατρίδα γαῖαν,
σῆμά τέ οἱ χεῦαι, καὶ ἐπὶ κτέρεα κτερεΐξαι
πολλὰ μάλ', ὅσσα ἔοικε, καὶ ἀνέρι μητέρα δοῦναι.

V. 268. ἤ — ἀποτίσεται, über das unterdrückte εἰ s. II, D, 1, 81. οὐκί §. 44, 3. — V. 271. εἰ δ', ἄγε, eine elliptische Formel, stärker als sonst ἀλλ' ἄγε. Man kann, um εἰ zu vervollständigen, βούλει hinzudenken, was später, jedoch mit verändertem Sinne, dabey stand. ξυνίει s. V. 192. — V. 274. ἄνωχθι §. 60, 2, c. — V. 275. μητέρα Acc. absolutus, ein Object für sich, worauf die folgende Gedankenreihe gerichtet seyn soll; bedeutender, als der Nominativ, mit dem Folgenden verbunden. — V. 276. ἀρτυνέουσιν s. V. 201. ἔεδνα §. 41, B, 3. — V. 284. εἴρεο V. 188. Πύλον s. ob. III, C, 5, 35. — V. 286. ὃς γάρ §. 58, 5, a. — V. 289. τεθνηῶτος §. 60, C, 2, e. — V. 291. χεῦαι siehe V. 136. κτερεΐξαι §. 33, A, 3. der Infinitiv für den Imperativ gehört der kindlichen Sprache an. s. V. 317.

αὐτὰρ ἐπὴν δὴ ταῦτα τελευτήσῃς τε καὶ ἔρξῃς,
φράζεσθαι δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,
ὅππως κε μνηστῆρας ἐνὶ μεγάροισι τεοῖσιν
κτείνῃς, ἠὲ δόλῳ, ἢ ἀμφαδόν· οὐδέ τί σε χρὴ
νηπιάας ὀχέειν, ἐπεὶ οὐκέτι τηλίκος ἐσσί.
ἢ οὐκ ἀΐεις, οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
πάντας ἐπ᾽ ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα,
Αἴγισθον δολόμητιν, ὅς οἱ πατέρα κλυτὸν ἔκτα;
καὶ σύ, φίλος, μάλα γάρ σ᾽ ὁρόω καλόν τε μέγαν τε,
ἄλκιμος ἔσσ᾽, ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
αὐτὰρ ἐγὼν ἐπὶ νῆα θοὴν κατελεύσομαι ἤδη
ἠδ᾽ ἑτάρους, οἵ πού με μάλ᾽ ἀσχαλόωσι μένοντες·
σοὶ δ᾽ αὐτῷ μελέτω, καὶ ἐμῶν ἐμπάζεο μύθων.
Τὴν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ξεῖν᾽, ἤτοι μὲν ταῦτα φίλα φρονέων ἀγορεύεις,
ὥςτε πατὴρ ᾧ παιδί, καὶ οὔποτε λήσομαι αὐτῶν.
ἀλλ᾽ ἄγε νῦν ἐπίμεινον, ἐπειγόμενός περ ὁδοῖο,
ὄφρα λοεσσάμενός τε, τεταρπόμενός τε φίλον κῆρ,
δῶρον ἔχων ἐπὶ νῆα κίῃς, χαίρων ἐνὶ θυμῷ,
τιμῆεν, μάλα καλόν, ὅ τοι κειμήλιον ἔσται
ἐξ ἐμεῦ· οἷα φίλοι ξεῖνοι ξείνοισι διδοῦσιν.
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ γλαυκῶπις Ἀθήνη·
μή μ᾽ ἔτι νῦν κατέρυκε, λιλαιόμενόν περ ὁδοῖο.
δῶρον δ᾽, ὅ,ττι κέ μοι δοῦναι φίλον ἦτορ ἀνώγει,

— V. 293. ἐπήν §. 66, C, b. — V. 298. ἢ οὐκ Synizese s. V. 183. 226. — V. 301. φίλος, dieser Vokativ war auch noch bey den Attikern nicht ungewöhnlich, außer θεός ist auch noch Ἥλιος Iliad. γ',277 Vokativ. — ὁρόω ἀσχαλόωσι §. 63, 5, a. ἔσσο §. 65, II. s. ob. 1, 1, 28. — V. 304. ἀσχαλόωσι μένοντες gehört mit zu Buttm. gr. Gr. §. 131. Anm. 8. siehe II, E, 4, 29. — V. 309 – 313. ἐπειγόμενός περ ὁδοῖο. Buttm. gr. Gr. §. 119, 6, 1. λοεσσάμενος, von dem alten λοέω, waschen (att. λοῦμαι), wovon noch ἐλόευν, λοέσσαι und Aor λόε episch sind. — τεταρπόμενος §. 59, B, 6. episch auch Aor. 2. pass. τραπείω f ταρπῶ. — διδοῦσιν §. 64, 1. — V. 314 — 318. ὅ,ττι κε — ἀνώγει. Auffallend ist κε (ἄν) in einem relativen Satze mit dem Indicativ des Präsens, statt des Conj., da es

αὖτις ἀνερχομένῳ δόμεναι οἶκόνδε φέρεσθαι,
καὶ μάλα καλὸν ἑλών· σοὶ δ' ἄξιον ἔσται ἀμοιβῆς.
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη,
ὄρνις δ' ὣς ἀνοπαῖα διέπτατο· τῷ δ' ἐνὶ θυμῷ
θῆκε μένος καὶ θάρσος, ὑπέμνησέν τέ ἑ πατρὸς
μᾶλλον ἔτ', ἢ τὸ πάροιθεν· ὁ δὲ, φρεσὶν ᾗσι νοήσας,
θάμβησεν κατὰ θυμόν· ὀΐσατο γὰρ θεὸν εἶναι.
αὐτίκα δὲ μνηστῆρας ἐπῴχετο ἰσόθεος φώς.
Τοῖσι δ' ἀοιδὸς ἄειδε περικλυτός, οἱ δὲ σιωπῇ
εἵατ' ἀκούοντες· ὁ δ' Ἀχαιῶν νόστον ἄειδεν
λυγρόν, ὃν ἐκ Τροίης ἐπετείλατο Παλλὰς Ἀθήνη.
Τοῦ δ' ὑπερωϊόθεν φρεσὶ σύνθετο θέσπιν ἀοιδὴν
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια·
κλίμακα δ' ὑψηλὴν κατεβήσατο οἷο δόμοιο,
οὐκ οἴη, ἅμα τῇγε καὶ ἀμφίπολοι δύ' ἕποντο.
ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.
δακρύσασα δ' ἔπειτα προσηύδα θεῖον ἀοιδόν·
Φήμιε, πολλὰ γὰρ ἄλλα βροτῶν θελκτήρια οἶδας,
ἔργ' ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί·
τῶν ἕν γέ σφιν ἄειδε παρήμενος· οἱ δὲ σιωπῇ
οἶνον πινόντων· ταύτης δ' ἀποπαύε' ἀοιδῆς
λυγρῆς, ἥτε μοι αἰεὶ ἐνὶ στήθεσσι φίλον κῆρ
τείρει· ἐπεί με μάλιστα καθίκετο πένθος ἄλαστον.
τοίην γὰρ κεφαλὴν ποθέω, μεμνημένη αἰεὶ

ſonſt nur, auch bey Homer, mit dem Indicativ vorzüglich des Fut. (unt. Nr. 2, 7.) zuweilen auch Imperf. od. Aor. ſteht, wenn der relative Satz den Hauptſatz zu einem angedeuteten, oder unterdrückten Nebenſatze bildet. Wahrſcheinlich iſt alſo ἀνώγει blos falſche Orthographie und ἀνώγῃ zu leſen, wie Iliad. ω', 554 jetzt κῆται f. κεῖται. Oben II, A, 2, 32 iſt ὅσ' ἔστ' ἂν ἀγαθά als nachläſſiger Ausdruck des Geſpräches zu betrachten. αὖτις §. 66. A, 4, b. δόμεναι §. 64, 2, g. — V. 326. εἵατο §. 62, 6 u. 7. — V. 328. ὑπερωϊόθεν §. 51, g. σύνθετο Virg. Eclog. III, 54, reponere sensibus. — V. 331. ἅμα τῇγε f. V. 98. — V. 337—344. πολλὰ γάρ. Der Grund ſteht dem Begründeten oft vor. σφίν §. 56, 1, d. πινόντων §. 61, 3.

ἀνδρός, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
μῆτερ ἐμή, τί τ' ἄρα φθονέεις ἐρίηρον ἀοιδὸν
τέρπειν, ὅππῃ οἱ νόος ὄρνυται; οὔ νύ τ' ἀοιδοὶ
αἴτιοι, ἀλλά ποθι Ζεὺς αἴτιος, ὅςτε δίδωσιν
ἀνδράσιν ἀλφηστῇσιν, ὅπως ἐθέλῃσιν, ἑκάστῳ.
τούτῳ δ' οὐ νέμεσις, Δαναῶν κακὸν οἶτον ἀείδειν·
τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι,
ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.
σοὶ δ' ἐπιτολμάτω κραδίη καὶ θυμὸς ἀκούειν·
οὐ γὰρ Ὀδυσσεὺς οἶος ἀπώλεσε νόστιμον ἦμαρ
ἐν Τροίῃ, πολλοὶ δὲ καὶ ἄλλοι φῶτες ὄλοντο.
ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι· μῦθος δ' ἄνδρεσσι μελήσει
πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκῳ.
Ἡ μὲν θαμβήσασα πάλιν οἶκόνδε βεβήκει·
παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.
ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν,
κλαῖεν ἔπειτ' Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
Μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·
πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι.
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἤρχετο μύθων·
Μητρὸς ἐμῆς μνηστῆρες, ὑπέρβιον ὕβριν ἔχοντες,
νῦν μὲν δαινύμενοι τερπώμεθα, μηδὲ βοητὺς
ἔστω· ἐπεὶ τόγε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
τοιοῦδ', οἷος ὅδ' ἐστί, θεοῖς ἐναλίγκιος αὐδήν.

καθ' Ἑλλάδα. Ἑλλάδα τὴν Θεσσαλίαν φησί. Ἑλλὰς γὰρ πόλις Θεσσαλίας. Von dorther kam Achilleus. — V. 352. ἀκουόντεσσι §. 50, A, 5. — V. 353. κραδίη §. 14, B. — V. 356. τὰ σ' αὐτῆς §. 56, 2, b. — V. 358 μῦθος Rede vor der Versammlung. — V. 360. βεβήκει. das Plusquamp. hier um die schnelle Folge auszudrücken, lebendiger, als der Aorist, den man nach unserm Sprachgebrauch erwartete. Herod. VIII, 38. συμμιγέντων δὲ τουτέων πάντων, φόβος τοῖσι βαρβάροισι ἐνεπεπτώκεε. — V. 366. παραὶ §. 66, B, a. λεχέεσσι §. 50, A, 5. —

ἠῶθεν δ᾽ ἀγορήνδε καθεζώμεσθα κιόντες
πάντες, ἵν᾽ ὑμῖν μῦθον ἀπηλεγέως ἀποείπω,
ἐξιέναι μεγάρων· ἄλλας δ᾽ ἀλεγύνετε δαῖτας,
ὑμὰ κτήματ᾽ ἔδοντες, ἀμειβόμενοι κατὰ οἴκους.
εἰ δ᾽ ὑμῖν δοκέει τόδε λωΐτερον καὶ ἄμεινον
ἔμμεναι, ἀνδρὸς ἑνὸς βίοτον νήποινον ὀλέσθαι,
κείρετ᾽· ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι αἰὲν ἐόντας,
αἴ κέ ποθι Ζεὺς δῷσι παλίντιτα ἔργα γενέσθαι·
νήποινοί κεν ἔπειτα δόμων ἔντοσθεν ὄλοισθε.
῝Ως ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες,
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν.
Τὸν δ᾽ αὖτ᾽ Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
Τηλέμαχ᾽, ἦ μάλα δή σε διδάσκουσιν θεοὶ αὐτοὶ
ὑψαγόρην τ᾽ ἔμεναι, καὶ θαρσαλέως ἀγορεύειν·
μή σέ γ᾽ ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων
ποιήσειεν· ὅ τοι γενεῇ πατρώϊόν ἐστιν.
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Ἀντίνο᾽, ἦ καί μοι νεμεσήσεαι, ὅ,ττι κεν εἴπω;
καί κεν τοῦτ᾽ ἐθέλοιμι, Διός γε διδόντος, ἀρέσθαι.
ἦ φῂς τοῦτο κάκιστον ἐν ἀνθρώποισι τετύχθαι;
οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν· αἶψά τέ οἱ δῶ
ἀφνειὸν πέλεται, καὶ τιμηέστερος αὐτός.
ἀλλ᾽ ἤτοι βασιλῆες Ἀχαιῶν εἰσὶ καὶ ἄλλοι
πολλοὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ, νέοι ἠδὲ παλαιοί·

— V. 373. s. V. 91. ἀπηλεγέως, 382. θαρσαλέως §. 66, A, 1. — V. 375—380. ὑμά §. 57. λωΐτερον §. 26, 1, d. — ἐπιβώσομαι §. 41, F, 4. δῷσι §. 64, 2, d, pag. 134. — V. 381—382. ὀδάξ so viel als ὀδοῦσι; ähnliche epische Adverbialbildungen aus bekannten Stämmen sind: γνύξ mit den Knieen, λάξ mit der Ferse, ἀγκάς mit den Armen. — ὅ — — ἀγόρευεν s. 11, D, 6, 14. — V. 385. ὑψαγόρην τ᾽ ἔμεναι. Hier erklärt sich der Ursprung des Acc. c. Inf. vergleiche V. 422. — V. 390. τοῦτο, τό βασιλεύειν. — V. 393. ἀφνειόν, durch doppelte Portionen Fleisch, größern und bessern Antheil an der Beute und andere Geschenke; darauf bezieht sich auch τιμήεστερος, τιμιώτερος. — V. 394. βασιλῆες. σημείωσαι δὲ, ὅτι οὐ μόνον Ὅμηρος βασιλεῖς λέγει τοὺς ἐνδόξους καὶ βασιλικοὺς, ἀλλὰ καὶ οἱ μετ᾽ αὐτόν. Eustath.

τῶν κέν τις τόδ᾽ ἔχησιν, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς·
αὐτὰρ ἐγὼν οἴκοιο ἄναξ ἔσομ᾽ ἡμετέροιο
καὶ δμώων, οὕς μοι ληΐσσατο δῖος Ὀδυσσεύς.
Τὸν δ᾽ αὖτ᾽ Εὐρύμαχος, Πολύβου παῖς, ἀντίον ηὔδα·
Τηλέμαχ᾽, ἤτοι ταῦτα θεῶν ἐν γούνασι κεῖται,
ὅςτις ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλεύσει Ἀχαιῶν·
κτήματα δ᾽ αὐτὸς ἔχοις, καὶ δώμασιν οἷσιν ἀνάσσοις.
μὴ γὰρ ὅγ᾽ ἔλθοι ἀνήρ, ὅςτις σ᾽ ἀέκοντα βίηφιν
κτήματ᾽ ἀποῤῥαίσει, Ἰθάκης ἔτι ναιεταώσης.
ἀλλ᾽ ἐθέλω σε, φέριστε, περὶ ξείνοιο ἔρεσθαι·
ὁππόθεν οὗτος ἀνήρ, ποίης δ᾽ ἐξ εὔχεται εἶναι
γαίης· ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα·
ἠέ τιν᾽ ἀγγελίην πατρὸς φέρει ἐρχομένοιο,
ἦ ἑὸν αὐτοῦ χρεῖος ἐελδόμενος τόδ᾽ ἱκάνει;
οἷον ἀναΐξας ἄφαρ οἴχεται, οὐδ᾽ ὑπέμεινεν
γνώμεναι! οὐ μὲν γάρ τι κακῷ εἰς ὦπα ἐῴκει.
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Εὐρύμαχ᾽, ἤτοι νόστος ἀπώλετο πατρὸς ἐμοῖο·
οὔτ᾽ οὖν ἀγγελίης ἔτι πείθομαι, εἴποθεν ἔλθοι,
οὔτε θεοπροπίης ἐμπάζομαι, ἥντινα μήτηρ,
ἐς μέγαρον καλέσασα θεοπρόπον ἐξερέηται.
ξεῖνος δ᾽ οὗτος ἐμὸς πατρώϊος ἐκ Τάφου ἐστίν·
Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχεται εἶναι
υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσει.
Ὣς φάτο Τηλέμαχος· φρεσὶ δ᾽ ἀθανάτην θεὸν ἔγνω.
οἱ δ᾽ εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
τρεψάμενοι τέρποντο· μένον δ᾽ ἐπὶ ἕσπερον ἐλθεῖν.

— V. 396. τόδε, τὸ βασιλεύειν. — V. 397. ἔσομ᾽ ἡμ. §. 47, 1, b. — V. 404. ναιεταώσης §. 63, 5, c. — V. 407. πατρὶς ἄρουρα, wie so oft πατρίδος αἴης. — V. 409. χρεῖος §. 50, B, 3. ἑὸν αὐτοῦ (V. 356.), suum ipsius negotium. τόδε ἱκάνει i. e. ἐνθάδε. — V. 411. εἰς ὦπα. Die Beziehung von ἐῴκει voller bezeichnet, als V. 208. — V. 414. οὔτ᾽ οὖν in Beziehung auf ἀπώλετο. οὖν also nicht für δή, wie Eustathius will. — V. 422. μένον δ᾽ ἐπὶ ἕσπερον ἐλθεῖν i. e. τὸ ἐπελθεῖν τὸν ἑσπ. Aber die epische Sprache verbindet den Infinitiv nie mit dem Artikel wie die spätere, sondern fügt ihn ohne weitere Bestimmung für alle Casus dem regierenden Worte bey.

τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν·
δὴ τότε κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος.
Τηλέμαχος δ', ὅθι οἱ θάλαμος περικαλλέος αὐλῆς
ὑψηλὸς δέδμητο, περισκέπτῳ ἐνὶ χώρῳ,
ἔνθ' ἔβη εἰς εὐνήν, πολλὰ φρεσὶ μερμηρίζων.
τῷ δ' ἄρ' ἅμ' αἰθομένας δαΐδας φέρε κέδν' εἰδυῖα
Εὐρύκλει', Ὦπος θυγάτηρ Πεισηνορίδαο·
τήν ποτε Λαέρτης πρίατο κτεάτεσσιν ἑοῖσιν,
πρωθήβην ἔτ' ἐοῦσαν, ἐεικοσάβοια δ' ἔδωκεν·
ἶσα δέ μιν κεδνῇ ἀλόχῳ τίεν ἐν μεγάροισιν,
εὐνῇ δ' οὔποτ' ἔμικτο· χόλον δ' ἀλέεινε γυναικός·
ἥ οἱ ἅμ' αἰδομένας δαΐδας φέρε, καί ἑ μάλιστα
δμωάων φιλέεσκε, καὶ ἔτρεφε τυτθὸν ἐόντα.
ὤϊξεν δὲ θύρας θαλάμου πύκα ποιητοῖο·
ἕζετο δ' ἐν λέκτρῳ, μαλακὸν δ' ἔκδυνε χιτῶνα·
καὶ τὸν μὲν γραίης πυκιμηδέος ἔμβαλε χερσίν.
ἡ μὲν τὸν πτύξασα καὶ ἀσκήσασα χιτῶνα,
πασσάλῳ ἀγκρεμάσασα παρὰ τρητοῖς λεχέεσσιν,
βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο· θύρην δ' ἐπέρυσσε κορώνῃ
ἀργυρέῃ· ἐπὶ δὲ κληῖδ' ἐτάνυσσεν ἱμάντι.
ἔνθ' ὅγε παννύχιος, κεκαλυμμένος οἰὸς ἀώτῳ,
βούλευε φρεσὶν ᾗσιν ὁδόν, τὴν πέφραδ' Ἀθήνη.

B. Homerische Hymnen.

No. 2. ΕΙΣ ΜΟΥΣΑΣ ΚΑΙ ΑΠΟΛΛΩΝΑ.

Μουσάων ἄρχωμαι, Ἀπόλλωνός τε Διός τε.
ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος

— V. 424. κακκείοντες §. 65, V. mit §. 38, B, 2. ἀγκρεμάσασα 440. — V. 428. κέδν' εἰδυῖα, homerischer Sprachgebrauch, wie πεπνυμένα εἰδώς ꝛc. i. e. κέδνα οὖσα. — V. 438. γραίης §. 51, a. — V. 441. βῆ ῥ' ἴμεν (§. 65, III.) „machte sich auf, um zu gehen," wie βῆ δὲ θέειν — βάσκ' ἴθι ꝛc. — V. 242. κληῖδα §. 10, 1. —

No. 2. Hom. Hymn. ed. Hermann. 25. Proömium eines Rhapsoden, (II, D, 4, 144.), zum Theil entlehnt aus Hes. Theog. 94—97.

ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθονὶ καὶ κιθαρισταί,
ἐκ δὲ Διὸς βασιλῆες. ὁ δ' ὄλβιος, ὅντινα Μοῦσαι
φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
Χαίρετε, τέκνα Διός, καὶ ἐμὴν τιμήσατ' ἀοιδήν·
αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

No. 3. *ΕΙΣ ΓΗΝ ΜΗΤΕΡΑ ΠΑΝΤΩΝ.*

Γαῖαν παμμήτειραν ἀείσομαι, ἠΰθέμεθλον,
πρεσβίστην, ἣ φέρβει ἐπὶ χθονὶ πάνθ', ὁπόσ' ἔστιν,
ἠμὲν ὅσα χθόνα δῖαν ἐπέρχεται, ἠδ' ὅσα πόντον,
ἠδ' ὅσα πωτῶνται, τάδε φέρβεται ἐκ σέθεν ὄλβου.
ἐκ σέο δ' εὔπαιδές τε καὶ εὔκαρποι τελέθουσιν,
πότνια· σεῦ δ' ἔχεται δοῦναι βίον ἠδ' ἀφελέσθαι
θνητοῖς ἀνθρώποισιν. ὁ δ' ὄλβιος, ὅν κε σὺ θυμῷ
πρόφρων τιμήσεις· τῷ τ' ἄφθονα πάντα πάρεστιν.
βρίθει μέν σφιν ἄρουρα φερέσβιος, ἠδὲ κατ' ἀγροὺς
κτήνεσιν εὐθηνεῖ, οἶκος δ' ἐμπίμπλαται ἐσθλῶν·
αὐτοὶ δ' εὐνομίῃσι πόλιν κατὰ καλλιγύναικα
κοιρανέουσ', ὄλβος δὲ πολὺς καὶ πλοῦτος ὀπηδεῖ,
παῖδες δ' εὐφροσύνῃ νεοθηλέϊ κυδιόωσιν,
παρθενικαί τε χοροῖς εὐανθέσιν εὔφρονι θυμῷ
παίζουσαι σκαίρουσι κατ' ἄνθεα μαλθακὰ ποίης,
οὕς κε σὺ τιμήσεις, σεμνὴ θεά, ἄφθονε δαῖμον.
Χαῖρε, θεῶν μήτηρ, ἄλοχ' Οὐρανοῦ ἀστερόεντος·
πρόφρων δ' ἀντ' ᾠδῆς βίοτον θυμήρε' ὄπαζε.
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

— V. 3. ἔασιν §. 65, II. — V. 4. Iliad. ι, 98. καί τοι (Ἀτρείδῃ) Ζεὺς ἐγγυάλιξεν σκῆπτρον. — V. 5. χαίρετε sc. ἀοιδῇ d. i. nehmt huldreich auf. — V. ἀοιδήν, den Gesang, der nun folgen soll.

No. 3. Hom. Hymn. 30. V. 1—4. παμμήτειραν §. 14, A. ἠΰθέμεθλον i. e. ἄφθιτον. τάδε φέρβεται diese Veränderung der angefangenen Konstruction gehört zur episch losen Verbindung. σέθεν (σεῦ, σέο, σεῖο) §. 56, 1 hier possessiv, wie öfter bey den Dichtern. — V. 5—10. ὅν κε — τιμήσεις s. vorher No. 1, 316 — σφίν. Uebergang vom Singular zum Plural, wie oft. — V. 11—16. κυδιόωσιν s. ob. No. 1, 25.

No. 4. ΕΙΣ ΑΡΤΕΜΙΝ.

Ἄρτεμιν ἀείδω χρυσηλάκατον, κελαδεινήν,
παρθένον αἰδοίην, ἐλαφηβόλον, ἰοχέαιραν,
αὐτοκασιγνήτην χρυσαόρου Ἀπόλλωνος,
ἣ κατ' ὄρη σκιόεντα καὶ ἄκριας ἠνεμοέσσας
ἄγρῃ τερπομένη παγχρύσεα τόξα τιταίνει,
πέμπουσα στονόεντα βέλη· τρομέει δὲ κάρηνα
ὑψηλῶν ὀρέων· ἰάχει δ' ἔπι δάσκιος ὕλη
δεινὸν ὑπὸ κλαγγῆς θηρῶν· φρίσσει δέ τε γαῖα,
πόντος τ' ἰχθυόεις· ἡ δ' ἄλκιμον ἦτορ ἔχουσα
πάντῃ ἐπιστρέφεται, θηρῶν ὀλέκουσα γενέθλην.
αὐτὰρ ἐπὴν τερφθῇ θηροσκόπος ἰοχέαιρα,
εὐφρήνῃ δὲ νόον, χαλάσασ' εὐκαμπέα τόξα,
ἔρχεται ἐς μέγα δῶμα κασιγνήτοιο φίλοιο,
Φοίβου Ἀπόλλωνος, Δελφῶν ἐς πίονα δῆμον,
Μουσέων καὶ Χαρίτων καλὸν χορὸν ἀρτυνέουσα.
ἔνθα κατακρεμάσασα παλίντονα τόξα καὶ ἰούς,
ἡγεῖται, χαρίεντα περὶ χροῒ κόσμον ἔχουσα
ἐξάρχουσα χορούς· αἱ δ' ἀμβροσίην ὄπ' ἰεῖσαι,
ὑμνεῦσιν Λητὼ καλλίσφυρον, ὡς τέκε παῖδας,
ἀθανάτων βουλῇ τε καὶ ἔργμασιν ἔξοχ' ἀρίστους.

Χαίρετε, τέκνα Διὸς καὶ Λητοῦς ἠϋκόμοιο·
αὐτὰρ ἐγὼν ὑμέων τε καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

No. 4. Hom. Iliad. 27. V. 3. Kinder der Leto II, A, 1. 58. II, E, 1, 17. — V. 8. τε hinter δέ ist epische Verbindung. — V. 13—15. δῶμα i. e. νεών ἐν Δ., wo sie mit ihrem Bruder (μουσαγέτης, χοροποιός) zugleich verehrt wurde; vergl. zu II, C, 3, 10. Artemis als χορηγός ob. II, A, 1, 58 ꝛc. — V. 17. χροΐ §. 50, B, 7. — V. 18. ὄπ' ἰεῖσαι §. 40. Herm. vermuthet: αἱ δ' ἄμβροτον ὄσσαν ἰεῖσαι. — V. 19. ὑμνεῦσιν §. 43, 3. —

No. 5. *ΕΙΣ ΑΘΗΝΑΝ.*

Παλλάδ᾽ Ἀθηναίην, κυδρὴν θεὸν, ἄρχομ᾽ ἀείδειν,
γλαυκῶπιν, πολύμητιν, ἀμείλιχον ἦτορ ἔχουσαν,
παρθένον αἰδοίην, ἐρυσίπτολιν, ἀλκήεσσαν,
Τριτογενῆ, τὴν αὐτὸς ἐγείνατο μητίετα Ζεὺς
σεμνῆς ἐκ κεφαλῆς, πολεμήϊα τεύχε᾽ ἔχουσαν,
χρύσεα, παμφανόωντα· σέβας δ᾽ ἔχε πάντας ὁρῶντας
ἀθανάτους· ἡ δὲ πρόσθεν Διὸς αἰγιόχοιο
ἐσσυμένως ὤρουσεν ἀπ᾽ ἀθανάτοιο καρήνου,
σείσασ᾽ ὀξὺν ἄκοντα· μέγας δ᾽ ἐλελίζετ᾽ Ὄλυμπος
δεινὸν ὑπὸ βρίμη Γλαυκώπιδος· ἀμφὶ δὲ γαῖα
σμερδαλέον ἰάχησεν· ἐκινήθη δ᾽ ἄρα πόντος,
κύμασι πορφυρέοισι κυκώμενος, ἔσχετο δ᾽ ἄλμη
ἐξαπίνης· στῆσεν δ᾽ Ὑπερίονος ἀγλαὸς υἱὸς
ἵππους ὠκύποδας δηρὸν χρόνον, εἰσόκε κούρη
εἵλετ᾽ ἀπ᾽ ἀθανάτων ὤμων θεοείκελα τεύχη,
Παλλὰς Ἀθηναίη· γήθησε δὲ μητίετα Ζεύς.

Καὶ σὺ μὲν οὕτω χαῖρε, Διὸς τέκος αἰγιόχοιο·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ᾽ ἀοιδῆς.

No. 5. Hom. H. 28. V. 1—5. *Ἀθηναίην* s. ob. No. 1, 223. — *Ἐρυσίπτολιν, ἀλκήεσσαν* s. II, A, 1, 46. — *Τριτογενῆ*, Triton, ein See in Afrika, wo seit den ältesten Zeiten, vielleicht von Aegypten aus, ein Minervendienst sich erhalten hatte. — *μητίετα* §. 48, 3. — V. 12. Das bewegte Meer hemmt seine Fluth (die strahlende bewundernd), *ἔσχετο δ᾽ ἄλμη. ἦς δὲ γαλάνα* II, D, 2, 35. vergl. unt. No. 12, 9 u. 10. bey der Geburt des Apollo. — V. 13. *Ὑπερίων* des Hyperion und der Euryphaessa Sohn, nach Hymn. 31. s. ob. No. 1, 8. — V. 14. *κούρη* §. 9, 4.

No. 6. ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Ἀμφὶ Διώνυσον, Σεμέλης ἐρικυδέος υἱόν,
μνήσομαι, ὡς ἐφάνη παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο,
ἀκτῇ ἐπὶ προβλῆτι, νεηνίῃ ἀνδρὶ ἐοικώς,
πρωθήβῃ· καλαὶ δὲ περισσείοντο ἔθειραι,
κυάνεαι, φᾶρος δὲ περὶ στιβαροῖς ἔχεν ὤμοις
πορφύρεον. τάχα δ' ἄνδρες ἐϋσσέλμου ἀπὸ νηὸς
ληϊσταὶ προγένοντο θοῶς ἐπὶ οἴνοπα πόντον,
Τυρσηνοί· τοὺς δ' ἦγε κακὸς μόρος· οἱ δὲ ἰδόντες
νεῦσαν ἐς ἀλλήλους, τάχα δ' ἔκθορον· αἶψα δ' ἑλόντες,
εἷσαν ἐπὶ σφετέρης νηὸς κεχαρημένοι ἦτορ.
υἱὸν γάρ μιν ἔφαντο Διοτρεφέων βασιλήων
εἶναι, καὶ δεσμοῖς ἔθελον δεῖν ἀργαλέοισιν.
τὸν δ' οὐκ ἴσχανε δεσμά, λύγοι δ' ἀπὸ τηλόσε πίπτον
χειρῶν ἠδὲ ποδῶν· ὁ δὲ μειδιάων ἐκάθητο
ὄμμασι κυανέοισι· κυβερνήτης δὲ νοήσας,
αὐτίκα οἷς ἑτάροισιν ἐκέκλετο, φώνησέν τε·
Δαιμόνιοι, τίνα τόνδε θεὸν δεσμεύεθ' ἑλόντες,

No. 6. Hom. H. 7. Ein mythischer Hymus, wie Dionysos von tyrrhenischen Seeräubern geraubt wird, aber ruhmvoll die Frevler bestraft. vergl. Ovid. Metam. II, 577. V. 1—5. *ἀμφί*, ausdrucksvoller, als unser auf, in solcher Verbindung sehr gewöhnlich: *ἀμφὶ Ποσειδάωνα — ἄρχομ' ἀείδειν. ἀμφὶ Διὸς κούρους ἑλικώπιδες ἔσπετε Μοῦσαι.* — *ἀτρυγέτοιο* (No. 11, 19.) homerisches Beywort. *ἀκτῇ ἐπὶ πρ.* nach Apollodor. III, 5, 2. an der Insel Ikaria, im ägäischen Meere. *στιβαροῖς ὤμ.* starke Schultern, Zeichen der Kraft, zierten Helden und Götter. — V. 6—10. *τάχα* in Beziehung auf das vorausgegangene *ὡς*, so wie, alsbald. *ἐπὶ οἴνοπα π.* bey Verbis der Ruhe steht oft die Präpos. mit dem Acc. *Τυρσηνοί*, ein pelasgischer Stamm (früher zum Theil in Athen und Lemnos Thucyd. IV. 109), der, wie alle Pelasger an den Küsten, Seeräuberey trieb. Thucyd. 1, 5. — *κεχαρ. ἦτορ.* s. oben No. 1, 166. — V. 11—16. *ἔφαντο* §. 65, IV. *Διοτρεφέων β.* hom. Beywort, s. oben No. 2, 4. sie schlossen dies aus der Kleidung und körperlichen Schönheit. — *ἐκέκλετο* §. 59, B, 6, a. — V. 17—24. *δαιμόνιοι*, die von einem Dämon erfüllt sind, zum Guten, oder Bösen. *τίνα τόνδε*, ob. No. 1, 225.

καρτερόν; οὐδὲ φέρειν δύναταί μιν νηῦς εὐεργής.
ἢ γὰρ Ζεύς ὅδε γ᾽ ἐστίν, ἢ ἀργυρότοξος Ἀπόλλων,
ἠὲ Ποσειδάων· ἐπεὶ οὐ θνητοῖσι βροτοῖσιν
εἴκελος, ἀλλὰ θεοῖς, οἳ Ὀλύμπια δώματ᾽ ἔχουσιν.
ἀλλ᾽ ἄγετ᾽ αὐτὸν ἀφῶμεν ἐπ᾽ ἠπείροιο μελαίνης
αὐτίκα· μηδ᾽ ἐπὶ χεῖρας ἰάλλετε, μήτι χολωθεὶς
ὄρσῃ ἀργαλέους τ᾽ ἀνέμους καὶ λαίλαπα πολλήν.
Ὣς φάτο· τὸν δ᾽ ἀρχὸς στυγερῷ ἠνίπαπε μύθῳ·
δαιμόνι᾽, οὖρον ὅρα, ἅμα δ᾽ ἱστίον ἕλκεο νηός,
σύμπανθ᾽ ὅπλα λαβών· ὅδε δ᾽ αὖτ᾽ ἄνδρεσσι μελήσει.
ἔλπομαι, ἢ Αἴγυπτον ἀφίξεται, ἢ ὅγε Κύπρον,
ἢ ἐς Ὑπερβορέους, ἢ ἑκαστέρω· ἐς δὲ τελευτὴν
ἔκ ποτ᾽ ἐρεῖ αὐτοῦ τε φίλους καὶ κτήματα πάντα,
οὕς τε κασιγνήτους· ἐπεὶ ἥμιν ἔμβαλε δαίμων.
Ὣς εἰπὼν, ἱστόν τε καὶ ἱστίον ἕλκετο νηός.
ἔμπνευσεν δ᾽ ἄνεμος μέσον ἱστίον, ἀμφὶ δ᾽ ἄρ᾽ ὅπλα
καττάνυσαν· τάχα δέ σφιν ἐφαίνετο θαυματὰ ἔργα·
οἶνος μὲν πρώτιστα θοὴν ἀνὰ νῆα μέλαιναν
ἡδύποτος κελάρυζ᾽ εὐώδης, ὤρνυτο δ᾽ ὀδμὴ
ἀμβροσίη· ναύτας δὲ τάφος λάβε πάντας ἰδόντας.
αὐτίκα δ᾽ ἀκρότατον παρὰ ἱστίον ἐξετανύσθη
ἄμπελος ἔνθα καὶ ἔνθα, κατεκρημνῶντο δὲ πολλοὶ
βότρυες· ἀμφ᾽ ἱστὸν δὲ μέλας εἰλίσσετο κισσός,
ἄνθεσι τηλεθάων, χαρίεις δ᾽ ἐπὶ καρπὸς ὀρώρει·
πάντες δὲ σκαλμοὶ στεφάνους ἔχον· οἱ δὲ ἰδόντες
Μηδείδην τότ᾽ ἔπειτα κυβερνήτην ἐκέλευον

ἐπὶ χεῖρας ἰάλλετε s. oben No. 1, 149. ὄρσῃ §. 60, A, 1. — V. 25—31. ἠνίπαπε §. 59, B, 6, b. ἱστίον ἕλκεο sc. πρὸς οὖρον. ὅπλα, wie arma, vom Schiffsgeräthe. — ἢ ὅγε s. ob. No. 1, 4. — Ὑπερβορέους nannten die asiatischen Griechen alle ihnen nördlich gelegene, unbekannte Völkerschaften, vorzüglich die am Pontus Euxinus wohnenden; späterhin wurden sie immer nördlicher gesetzt. Hier und bey dem Argonautenzuge erscheinen sie blühend durch Handel. ἥμιν enklitisch, und weil die letzte Sylbe lang ist, nicht ἡμῖν §. 56, 1, c. — ἔμβαλε sc. αὐτόν. — V. 34. καττάνυσαν §. 44, 6. — V. 36. ὀδμὴ §. 44, 4. — V. 41. ὀρώρει s. ob. No. 1, 360. — V. 43. Die verstümmelte Lesart ist μὴ δήδειν. Μηδείδην aber als Name des Steuermanns hier erst, ist un-

γῆ πελάαν· ὁ δ' ἄρα σφι λέων γένετ' ἔνδοθι νηὸς,
δεινὸς ἐπ' ἀκροτάτης, μέγα δ' ἔβραχεν, ἐν δ' ἄρα μέσσῃ
ἄρκτον ἐποίησεν λασιαύχενα, σήματα φαίνων·
ἂν δ' ἔστη μεμαυῖα· λέων δ' ἐπὶ σέλματος ἄκρου
δεινὸν ὑπόδρα ἰδών· οἱ δ' ἐς πρύμνην ἐφόβηθεν,
ἀμφὶ κυβερνήτην δὲ, σαόφρονα θυμὸν ἔχοντα,
ἔσταν ἄρ' ἐκπληγέντες· ὁ δ' ἐξαπίνης ἐπορούσας
ἀρχὸν ἕλ'· οἱ δὲ θύραζε, κακὸν μόρον ἐξαλύοντες,
πάντες ὁμῶς πήδησαν, ἐπεὶ ἴδον, εἰς ἅλα δῖαν,
δελφῖνες δ' ἐγένοντο· κυβερνήτην δ' ἐλεήσας
ἔσχεθε, καί μιν ἔθηκε πανόλβιον, εἶπέ τε μῦθον·
Θάρσει, δῖε κάτωρ, τῷ ἐμῷ κεχαρισμένε θυμῷ.
εἰμὶ δ' ἐγὼ Διόνυσος ἐρίβρομος, ὃν τέκε μήτηρ
Καδμηῒς Σεμέλη, Διὸς ἐν φιλότητι μιγεῖσα.
Χαῖρε, τέκος Σεμέλης εὐώπιδος· οὐδέ πῃ ἔστιν,
σεῖό γε ληθόμενον γλυκερὴν κοσμῆσαι ἀοιδήν.

wahrscheinlich, dazu nennt ihn Hygin Acötes. Hermann vermuthet: νῆ ἤδη auf πελάαν §. 63, 5, a.) bezogen. — V. 44 50. ὁ δέ, Dionysos. λέων. als solcher kämpfte er gegen die Giganten. Hor. Od. II, 19, 20. In Eurip. Bacch. 1017 ruft ihm der Chor der Bakchantinnen zur Bestrafung des Pentheus zu: φάνηθι ταῦρος, ἢ πολύκρανος γ' ἰδεῖν δράκων, ἢ πυριφλέγων ὁρᾶσθαι λέων. σήματα simulacra inania, monstra Virg. Aen. IV, 469. — ἂν δ' ἔστη §. 15, a. μεμαυῖα §. 60, C, 2. — ἐφόβηθεν §. 62, 8. σαόφρονα I, 9, 14. ἔσταν §. 64, 2, f. — τ. ε. κεχαρισμένε θ. homerisch. — V. 56. δέ, causativ, s. ob. A, 1, 3. Δ. ἐρίβρομος, daher auch Βρόμιος und Ἐριβόας. σεῖο s. vorher No. 3, 6. —

C. Elegieen.

Politische Elegie.

No. 7. *ΚΑΛΛΙΝΟΥ ΕΦΕΣΙΟΥ.*

Μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἕξετε θυμόν,
ὦ νέοι; οὐδ' αἰδεῖσθ' ἀμφιπερικτίονας,
ὧδε λίην μεθιέντες; ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι· ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.
* * * * * * * *
καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω.
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ, μάχεσθαι
γῆς πέρι, καὶ παίδων, κουριδίης τ' ἀλόχου,
δυσμενέσιν· θάνατος δὲ τότ' ἔσσεται, ὁππότε κεν δὴ
Μοῖραι ἐπικλώσωσ'· ἀλλά τις ἰθὺς ἴτω

Die Lyrik sondert sich immer mehr von dem Epos. Wie das Gesammtvolk der Hellenen sich in Republiken trennte, traten die einzelnen Gattungen der subjectiven Poesie hervor. Die vorhergehenden Hymnen waren noch ein schwacher Zweig, in dem Stamme des Epos verwachsen. Die Elegie windet sich vollends los, ein selbstständiger Sprößling, durch die Schöpfung des Pentameters in seinem innersten Wesen bezeichnet. Sie nahm mit dem Fortschritte der Volkseigenthümlichkeit einen verschiedenen Charakter an. Die älteste bewegte sich noch in epischer Majestät, das öffentliche Leben begleitend (politische E.), die mittlere näherte sich vertraulicher dem Menschen, sein bürgerliches Leben durch ethische Lehren zu gestalten (gnomische E.), bis sie sich zuletzt auf immer in den Hain der Liebe verschloß (erotische E.).

Die schon öfter berührten dialectischen Formen sind blos durch gesperrte Schrift angedeutet.

No. 7. Stobaeus Tit. 51. Kallinos, aus Ephesos, um 680 v. Chr. Diese El. bezieht sich wahrscheinlich auf einen Angriff der Magnesier, die schon bis an die Grenzen von Ephesos vorgedrungen waren, ohne daß sich die Epheser zur Gegenwehr rüsteten. V. 1—4. *κότε*, 12. *κως*, §. 13, A, b, 1. *μεθιέντες* sc. *πολέμου* No. 10, 44. Den fehlenden Vers nach V. 4. hat Kamerarius also ergänzt: *εὖ νύ τις ἀσπίδα θέσθω ἐν ἀντιβίοις πολεμίζων.* V. 7. *κουριδίης ἀλ.* homerisch, Iliad. 1, 114. im Gegensatz des erkauften, oder erbeuteten Weibes. — V. 9. *ἐπικλώσωσι* s. II, E, 1, 29. No. 1, 17.

ἔγχος ἀνασχόμενος, καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
 ἔλσας, τὸ πρῶτον μιγνυμένου πολέμου.
οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν
 ἄνδρ', οὐδ' ἣν προγόνων ᾖ γένος ἀθανάτων.
πολλάκι δηϊότητα φυγὼν καὶ δοῦπον ἀκόντων
 ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου.
ἀλλ' ὁ μὲν οὐκ ἔμπης δήμῳ φίλος, οὐδὲ ποθεινός·
 τὸν δ' ὀλίγος στενάχει καὶ μέγας, ἤν τι πάθῃ.
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
 θνήσκοντος· ζώων δ', ἄξιος ἡμιθέων.
ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν·
 ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

No. 8. ΤΥΡΤΑΙΟΥ.

Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
 ἄνδρ' ἀγαθόν, περὶ ᾗ πατρίδι μαρνάμενον·
τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
 πτωχεύειν, πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ, καὶ πατρὶ γέροντι,
 παισί τε σὺν μικροῖς, κουριδίῃ τ' ἀλόχῳ.
ἐχθιστος γὰρ τοῖσι μετέσσεται, οὕς κεν ἵκηται,

— V. 11. ἔλσας §. 60, A, 1. — V. 17. ἤν τι πάθῃ; euphemistisch, für ἀποθάνῃ, πέσῃ. — V. 18. λαῷ §. 67, 3, d. — V. 19–21. ζώων §. 63, 5, a. πύργον, sonst auch ἕρκος, ἔρεισμα, κίων. wie Ajas bey Homer πύργος Ἀχαιῶν. — μοῦνος siehe No. 5, 14. ἔρδει s. oben No. 1, 61. —

No. 8. Tyrtäos, um dieselbe Zeit, wahrscheinlich aus Miletos, da er sich nur lange in Athen aufhielt. Diese Elegieen, bey verschiedenen Gelegenheiten, vor, in und nach dem Kriege gedichtet, sind von den Embaterien (Kriegsliedern) desselben Dichters zu unterscheiden, welche in dorischen Anapästen unter Begleitung der Flöte immer vor der Schlacht abgesungen wurden, für uns aber verloren gegangen sind. Die folgenden sind nur Fragmente von größern Elegieen. — Lycurg. c. Leocrat. V. 1 – 6. γάρ: man denke das lebendig ergriffene Gemüth des Dichters voraus (ἀλλ' ἄγε).

χρησμοσύνῃ τ᾽ εἴκων καὶ στυγερῇ πενίῃ·
αἰσχύνει τε γένος, κατὰ δ᾽ ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ᾽ ἀτιμία καὶ κακότης ἕπεται.
εἶθ᾽ οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί᾽ ὤρη
γίγνεται, οὔτ᾽ αἰδὼς εἰσοπίσω τελέθει.
θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα, καὶ περὶ παίδων
θνήσκωμεν, ψυχέων μηκέτι φειδόμενοι,
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ᾽ ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε, μηδὲ φόβου.
ἀλλὰ μέγαν ποιεῖτε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ᾽ ἀνδράσι μαρνάμενοι.
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκ ἔτι γούνατ᾽ ἐλαφρά,
μὴ καταλείποντες φεύγετε τοὺς γεραιούς.
αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη, πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ᾽ ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ᾽ αἰδοῖα φίλαις ἐν χερσὶν ἔχοντα,
(αἰσχρὰ τά γ᾽ ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν)
καὶ χρόα γυμνωθέντα. νέοισι δὲ πάντ᾽ ἐπέοικεν·
ὄφρ᾽ ἄρα τῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ,
ἀνδράσι μὲν θηητὸς ἰδεῖν, ἐρατός τε γυναιξί,
ζωὸς ἐών, καλὸς δ᾽ ἐν προμάχοισι πεσών.

— V. 8. Theogn. 380 ꝛc. von der Armuth: τολμᾷ δ᾽ οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν, χρησμοσύνῃ εἴκων, ἣ δὴ κακὰ πολλὰ διδάσκει. — V. 9. ἀγλαὸν ἐ. ἐλ., weil seine Thaten der edeln Gestalt nicht entsprechen. Pind. Ol. VIII, 24. ἦν δ᾽ ἐσορᾷν καλός· ἔργῳ τ᾽ οὐ κατὰ εἶδος ἐλέγχων. — V. 11. εἶτα nachdrucksvoll Buttm. gr. Gr. §. 131, 4. Anm. 6. — V. 19 τοὺς δὲ παλαι. ob. No. 1, 275. V. 23. κάρη §. 51, C — V. 25. Solches geschah aus Ehrfurcht gegen die Götter und war heilige Pflicht. V. 25. νέοισι — ἐπέοικεν. — Iliad. χ᾽. 271 sqq. von einem gleichen Falle: νέῳ δέ τε πάντ᾽ ἐπέοικεν — ἀλλ᾽ ὅτε δὴ πολιόν τε κάρη, πολιόν τε γένειον, αἰδῶ τ᾽ αἰσχύνωσι κύνες κταμένοιο γέροντος, τοῦτο δὴ οἴκτιστον πέλεται δειλοῖσι βροτοῖσιν. V. 28 ἥβης ἀγ. ἄνθος s. unten No. 14, 3. besser mit Valckenär ὄφρ᾽ ἐρατῆς ἥβης. — θηητός § 41, A, 2. ἰδεῖν No. 9, 17. Buttm. gr. Gr. §. 127, 3. ζωὸς §. 63, 5, b. —

No. 9. *ΤΥΡΤΑΙΟΥ.*

Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ·
θαρσεῖτ', οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει.
μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε,
ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω,
ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
κῆρας, ἴσ' αὐγαῖσιν ἠελίοιο, φίλας.
ἴστε γὰρ ὡς Ἄρεως πολυδακρύου ἔργ' ἀρίδηλα,
εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου·
καὶ πρὸς φευγόντων τε διωκόντων τ' ἐγένεσθε,
ὦ νέοι, ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε.
οἳ μὲν γὰρ τολμῶσι, παρ' ἀλλήλοισι μένοντες,
εἴς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σάουσι δὲ λαὸν ὀπίσσω·
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
ὅσσ', ἐὰν αἰσχρὰ πάθῃ, γίγνεται ἀνδρὶ κακά.
ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν
ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ.

No. 9. Stob. Tit. 50. Wahrscheinlich nach der unglücklichen Schlacht beym Grabmale des Ebers (*κάπρου σῆμα*), um die Lakedämonier, welche den Krieg gegen die Messenier aufgeben wollten, von neuem zur Ausdauer zu befeuern. V. 1. *Ἡρακλῆος – γένος.* Die Herakliden Eurysthenes und Prokles erhielten bey dem Einfall der Dorier den spartanischen Thron, von ihnen stammen die folgenden Könige ab. Auch Leonidas gehört zu Eurysthenes Nachkommen, Herod. VII, 204. – V. 2 *αὐχένα λοξὸν ἐ.* Theogn. 547. *οὔποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκεν· ἀλλ' αἰεὶ σκολιή, κ' αὐχένα λοξὸν ἔχει.* Hor. Od. III, 5, 9. *incolumi Jove.* — V. 10. *εἰς κόρον ἠλάσατε*, wie ruere in, stärker als *εἰσέρχεσθαι*; das nächste Object wird bey solchen Verbis oft unterdrückt, wie bey *εἰσβάλλειν* ꝛc. — V. 11 – 14. Iliad. *ε*, 529 sqq. ermuntert Agamemnon: *ὦ φίλοι, ἀνέρες ἐστὲ, καὶ ἄλκιμον ἦτορ ἕλεσθε, ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας! αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται· φευγόντων δ' οὔτ' ἂρ κλέος ὄρνυται, οὔτε τις ἀλκή.* — V. 15. *λέγων ἀνυσ.* s. II, E, 4, 29. 30. –

αἰσχρὸν δ' ἔστι νέκυς κατακείμενος ἐν κονίῃσι
νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος.
ἀλλά τις εὖ διαβὰς μενέτω, ποσὶν ἀμφοτέροισι
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών,
μηρούς τε, κνήμας τε κάτω, καὶ στέρνα, καὶ ὤμους
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς.
ἔρδων δ' ὄβριμα ἔργα, διδασκέσθω πολεμίζειν,
μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
ἀλλά τις ἐγγὺς ἰών, αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
ἢ ξίφει οὐτάζων, δήϊον ἄνδρ' ἑλέτω·
καὶ πόδα πὰρ ποδὶ θείς, καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας
ἐν δὲ λόφον τε λόφῳ, καὶ κυνέην κυνέῃ,
καὶ στέρνον στέρνῳ, πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην, ἢ δόρυ μακρὸν ἑλών·
ὑμεῖς δ', ὦ γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλο
πτώσσοντες, μεγάλοις σφάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτούς,
τοῖσι πανοπλίταις ἐγγύθεν ἱστάμενοι.

— V. 19. αἰσχρὸν ἔ. νέκυς ꝛc. Buttm. gr. Gr. §. 116. 4. — V. 20. νῶτον — ἐληλαμένος, wie im Deutschen. — V. 24. Die ältesten Schilde waren so groß, daß sich ein Mann dahinter verbergen konnte, daher Iliad. β', 389. ἄσπις ἀμφιβρότη. — V. 27. Homer oft εὖ εἰδὼς πάσης μάχης. — V. 31. vergl. Iliad. ν', 130 ꝛc. ἐν δέ s. ob. No. 1, 51. — V. 33. πεπλημένος synk. Form von πελάω ich nähere, dicht. Aor. ἐπλάσθην und ἐπλήμην. — V. 35. γυμνῆτες i. e. ψιλοί, mit Bogen, od. Wurfspießen, oder Schleudern bewaffnet, bargen sich (πτώσσοντες) hinter die Schilde der Schwerbewaffneten (πανοπλίται), und sprangen beym Schuße hervor oder ließen den Schild wegziehen.

No. 10. ΤΥΡΤΑΙΟΥ.

Οὔτ᾽ ἂν μνησαίμην, οὔτ᾽ ἐν λόγῳ ἄνδρα τιθείμην,
οὔτε ποδῶν ἀρετῆς, οὔτε παλαισμοσύνης,
οὐδ᾽ εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικῴη δὲ θέων Θρηΐκιον Βορέην·
οὐδ᾽ εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω βάθιον,
οὐδ᾽ εἰ Ταντα λίδεω Πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ᾽ Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ᾽ εἰ πᾶσαν ἔχοι δόξαν, πλὴν θούριδος ἀλκῆς.
οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ,
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
καὶ δηΐων ὀρέγοιτ᾽ ἐγγύθεν ἱστάμενος.
ἥδ᾽ ἀρετή, τό γ᾽ ἄριστον ἐν ἀνθρώποισιν ἄεθλον,
κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.
ξυνὸν δ᾽ ἐσθλὸν τοῦτο πόληΐ τε, παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνῃ δὲ πεσεῖν τὸν πλησίον ἄνδρα παρεστιώς.

No. 10. Stob. Tit. 51. Nur der Mann voll regen, ungestümen Muthes ist seines Volkes Wohlthäter, sein Tod ist ruhmreich, wie sein Leben. — V. 1—4. ἐν λόγῳ τιθείμην i. e. λόγου ἄξιον ἔχοιμι, ἡγοίμην. — ποδῶν ἀρετῆς Buttm. gr. Gr. §. 119, 6, 1. — V. 5—9. Τιθωνοῖο φυήν. Tithonos, Laomedons Sohn, wegen seiner Schönheit von der Aurora entführt. — Kinyras, König von Kypros, Agamemnons Gastfreund, Iliad. λ, 20. und Midas, König von Phrygien, beyde als die reichsten Könige ihrer Zeit bewundert, wie Gyges und Krösos. — Pelops, Tantalos Sohn, ward durch die Vermählung mit Oenomaos Tochter, Hippodamia, König von Elis und bald so mächtig, daß der Peloponnesus von ihm den Namen erhielt. — Ἀδρήστου γλ. μειλ. König von Sykion und Argos. Die süße Gewalt seiner Rede, deren sonst selten gedacht wird, bezieht sich wahrscheinlich auf den rastlosen Eifer, mit dem er den Zug der 7 Helden gegen Theben beförderte. — βασιλεύτερος §. 54, 3, a. θούριδος ἀλκῆς, homerisch. V. 10—19. τετλαίη ὁρῶν Matth. gr. Gr. §. 549, 7. ἀρετή, Heldentugend. πόληΐ §. 50, B, 5. — παρεστιώς §. 60, C, 2, c. —

οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ·
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης.
αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμόν,
ἄστυ τε, καὶ λαούς, καὶ πατέρ' εὐκλεΐσας,
πολλὰ διὰ στέρνοιο, καὶ ἀσπίδος ὀμφαλοέσσης,
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ τε πόθῳ πᾶσα κέκηδε πόλις.
καὶ τύμβος, καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι,
καὶ παίδων παῖδες, καὶ γένος ἐξοπίσω.
οὐδέποτε κλέος ἐσθλὸν ἀπόλλυται, οὐδ' ὄνομ' αὐτοῦ·
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,
ὅντιν' ἀριστεύοντα, μένοντά τε, μαρνάμενόν τε
γῆς πέρι καὶ παίδων, θοῦρος Ἄρης ὀλέσῃ.
ἢν δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο,
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί,
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην.
γηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν οὔτ' αἰδοῦς, οὔτε δίκης ἐθέλει·
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι, οἵ τε κατ' αὐτόν,
εἴκουσ' ἐκ χώρης, οἵ τε παλαιότεροι.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω θυμῷ, μὴ μεθιεὶς πόλεμον.

— V. 22—26. κῦμα μάχης homerisches Bild. ὤλεσε θυμόν homerisch. Die Verbindung ist episch frey; der Nachsatz beginnt eigentlich mit V. 27 τὸν δ' ὀλοφύρονται ꝛc. wozu man bey ὤλεσε eine Bedingungspartikel erwartet; auch wir lassen diese zuweilen nachdrucksvoll aus: aber hat er das Leben verloren, dann ꝛc. — V. 34. θοῦρος Ἄρης, hom. Beyw. wie τανηλεγέος θανα. §. 40, A, 4. — V. 36. αἰχμῆς ἀγ. εὐχ. ein tapferer αἰχμητής zu seyn, war besonders ruhmvoll. Iliad. α, 290. — V. 38. τερπνὰ παθών drückt die Seligkeit des Gefühls aus, stärker als εὖ πάσχων. — V. 40. βλάπτειν οὔτ' αἰδοῦς, wie ob. No. 1, 150. i. e. στερεῖν. — V. 43. τις i. e. ἕκαστος, wie oft. — V. 44. μὴ μεθιεὶς πόλεμον. μεθιέναι im Activo auch mit dem Acc. im Medio mit dem Genitiv. Da aber der Genitiv bey Homer durchaus gewöhnlicher ist, lesen andre πολέμου. H. Steph. πειράσθω, θυμὸν μὴ μεθιεὶς πολέμου.

Gnomische Elegie.

No. 11. ΣΟΛΩΝΟΣ ΑΘΗΝΑΙΟΥ.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ.
ὄλβον ἐμοὶ πρὸς θεῶν μακάρων δότε, καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν·
εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν·
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
χρήματα δ᾽ ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω. πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ᾽ ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρὶ
ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν·
ὃν δ᾽ ἄνδρες τιμῶσιν, ὑφ᾽ ὕβριος οὐ κατὰ κόσμον
ἔρχεται· ἀλλ᾽ ἀδίκοις ἔργμασι πειθόμενος,
οὐκ ἐθέλων ἕπεται· ταχέως δ᾽ ἀναμίσγεται ἄτη.
ἀρχὴ δ᾽ ἐξ ὀλίγου γίγνεται, ὥστε πυρός,
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ.
οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργα πέλει.
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος. ἐξαπίνης δὲ
ὥστ᾽ ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
ἠρινός, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο

No. 11. Solon, aus Athen, um 600 v. Chr. Gebet an die Musen. Dieses und die vorhergehenden Stücke (denn auch Tyrtäos hielt sich lange in Athen auf —) sind wichtig zur Vergleichung der frühern Verwandtschaft des jonischen und attischen Dialects. Einl. §. 7. — V. 1—6. Ζηνός ältere, auch homerische Form. κλῦτέ μοι ἐ. gewöhnlicher μευ εὐχομένου s. No. 12, 13. — δεινὸν ἰδεῖν s. ob. No. 8, 29. — V. 9—13. πλοῦτον δ᾽ ὃν μέν Attraction. ἐκ ν. πυθμένος ἐς κ. sprichwörtlich: vom Anfang bis zum Ende; ganz und gar. πυθμήν eig. der Boden eines Gefäßes; Tiefe, dann der unterste Theil einer Pflanze an der Wurzel. Aristoph. Plut. 650. ἐκ τῶν ποδῶν ἐς τὴν κεφαλήν σοι πάντ᾽ ἐρῶ — ὃν δὲ ἀ. τ. sc. πλοῦτον, durch ἀδικ. ἐργμ. πειθ. näher erklärt. ὕβριος §. 50, B, 5. — V. 18—26 ὥς᾽ ἄνεμος — τοιαύτη Ζηνὸς π. τίσις. Die Vergleichung ist homerisch ausgeschmükt s. ähnliche Vergl. Iliad. ε, 587 sqq.

πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον
δῃώσας καλὰ ἔργα, θεῶν ἕδος, αἰπὺν ἱκάνει
οὐρανόν, αἰθρίην δ' αὖτις ἔθηκεν ἰδεῖν,
λάμπει δ' ἠελίοιο μένος κατ' ἀπείρονα γαῖαν
καλόν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἐστὶν ἰδεῖν·
τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ,
ὥσπερ θνητὸς ἀνήρ, γίγνεται ὀξύχολος.
αἰεὶ δ' οὔ τι λέληθε διαμπρές, ὅς τις ἀλιτρὸν
θυμὸν ἔχει· πάντως δ' ἐς τέλος ἐξεφάνη.
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον· ἢν δὲ φύγωσιν
αὐτοί, μηδὲ θεῶν Μοῖρ' ἐπιοῦσα κίχῃ,
ἤλυθε πάντως. αὖτις ἀναίτιοι ἔργα τίνουσιν
ἢ παῖδες τούτων, ἢ γένος ἐξοπίσω.
θνητοὶ δ' ὧδε νοεῦμεν, ὁμῶς ἀγαθός τε κακός τε·
ἐσθλὴν δ' εἰς αὐτοῦ δόξαν ἕκαστος ἔχει,
πρίν τι παθεῖν· τότε δ' αὖτις ὀδύρεται. ἄχρι δὲ τούτου
χάσκοντες, κούφαις ἐλπίσι τερπόμεθα.
χ' ὅστις μὲν νούσοισιν ὑπ' ἀργαλέῃς ἐπιέσθη,
ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο.
ἄλλος δειλὸς ἐών, ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνήρ,
καὶ καλός, μορφὴν οὐ χαρίεσσαν ἔχων,
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
κτήσασθαι πάντως χρήματα πολλὰ δοκεῖ.
σπεύδει δ' ἄλλοθεν ἄλλος. ὁ μὲν κατὰ πόντον ἀλᾶται
ἐν νηυσί, χρήζων οἴκαδε κέρδος ἄγειν,
ἰχθυόεντ', ἀνέμοισι φορεύμενος ἀργαλέοισι,
φειδωλὴν ψυχῆς οὐδεμίην θέμενος.

διεσκέδασεν. Der Aorist in der Vergleichung ist natürlich, da das, womit verglichen wird, früher geschehen, oder bemerkt seyn muß; daher im Homer so häufig, doch wechselt in den Nebengliedern auch das Präsens ab, zuweilen steht durchaus das Präsens, wie im Deutschen. Iliad. β, 455 ꝛc. ἔθηκεν s. ob. No 8, 5. καλὰ ἔργα homerisch. αἰθρίην §. 68, 1. ἐφ' ἑκάστῳ sc. πράγματι. — V. 28. ἐς τέλος ἐξεφάνη s. ob. II, E, 1, 10—14. von den Erinnyen. — V. 29. ἔτισεν, wie gleich darauf ἤλυθε (Homer) Buttm. gr. Gr. §. 124, Anm. 4. — V. 31. Andere setzen das Kolon hinter αὖτις — νοεῦμεν, 45. φορεύμενος, ob. No. 4, 19. — V. 41. ἔργα πενίης Umschreibung s. πενία.

ἄλλος γῆν τέμνων πολυδένδρεον, εἰς ἐνιαυτὸν
λατρεύει, τοῖσι καμπύλ' ἄροτρα μέλει.
ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
ἔργα δαεὶς, χειροῖν ξυλλέγεται βίοτον.
ἄλλος Ὀλυμπιάδων Μουσέων πάρα δῶρα διδαχθὴ,
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος.
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων·
ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
ᾧ συνομαρτήσουσι θεοί· τὰ δὲ μόρσιμα πάντως
οὔτε τις οἰωνὸς ῥύσεται, οὔδ' ἱερά,
4 στρατὸν ταχθέντων, καί σφι εἴη δεινὸν οὐδέν· οὐ γὰρ θεὸν εἶναι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα· ἀλλ' ἄνθρωπον· εἶναι δὲ θνητῶν οὐδένα, οὐδὲ ἔσεσθαι, τῷ κακὸν ἐξ ἀρχῆς γινομένῳ οὐ συνεμίχθη, τοῖσι δὲ μεγίστοισι αὐτέων μέγιστα· ὀφείλειν ὦν καὶ τὸν ἐπελαύνοντα, ὡς ἐόντα θνητόν, ἀπὸ τῆς δόξης πεσέειν ἄν. οἱ δὲ, ταῦτα πυνθανόμενοι, ἐβοήθεον ἐς τὴν Τρηχῖνα.

5 204. Τούτοισι ἔσαν μέν νυν καὶ ἄλλοι στρατηγοὶ κατὰ πόλις ἑκάστων. ὁ δὲ θωϋμαζόμενος μάλιστα καὶ παντὸς τοῦ στρατεύματος ἡγεόμενος Λακεδαιμόνιος ἦν, Λεωνίδης ὁ Ἀναξανδρίδεω, τοῦ Λέοντος, τοῦ Εὐρυκρατίδεω, τοῦ Ἀναξάνδρου, τοῦ Εὐρυκράτεος, τοῦ Πολυδώρου, τοῦ Ἀλκαμένεος, τοῦ Τηλέκλου, τοῦ Ἀρχέλεω, τοῦ Ἡγησίλεω, τοῦ Δορύσσου, τοῦ Λεωβότεω, τοῦ Ἐχεστράτου, τοῦ Ἥγιος, τοῦ Εὐρυσθένεος, τοῦ Ἀριστοδήμου, τοῦ Ἀριστομάχου,

— οἱ λοιποὶ τῶν συμμ. Der Grieche trennt gern den Theilbegriff von dem Ganzen; so auch häufig bey Participien, selbst beym Pron. relat. s. unt. 7. u. 30. — 4. τῷ (§. 58, 1.). ἐξ ἀρχῆς verhält sich zu γινομένῳ, wie die Adverbia εὐθὺς, μεταξὺ ꝛc. die oft den Participien zur nähern Bestimmung beygefügt werden: vom Anfange seiner Geburt an. s. ob. C, 7, 11 u. 8, 11. — τοῖσι μεγίστοισι μέγιστα, Zusammenziehung aus ὅσῳ μέγιστοι ἦσαν, τοσούτῳ μέγιστα. wie im Lat. maximo cuique maxima. — ὡς ἐόντα (§. 65, II.), ὡς mit dem Particip. Buttm. gr. Gr. §. 132, Anmerk. 5. s. unt. 18. — πεσέειν (§. 61, 4.) ἄν Buttm. gr. Gr. §. 126, 14. — ἐβοήθεον ἐς Τρ. s. ob. B, 6, 7.

5. Bemerke in diesem und dem folgenden Kapitel die episch langsame Ausbreitung des Stoffes. κατὰ πόλις §. 50, B, 5. a. Viger. p. 632, IV. θωϋμαζόμενος §. 10, 2. — Ἀναξανδρίδεω über die Genit. auf εω s. §. 48, 4. — Εὐρυσθένεος, Ἡρακλέος ꝛc. §. 50, B, 2. — Ἥγιος §. 50, B, 5.

τοῦ Κλεοδαίου, τοῦ Ὕλλου, τοῦ Ἡρακλέος· κτησά-
μενος τὴν βασιληΐην ἐν Σπάρτῃ ἐξ ἀπροσδοκήτου.
205. Διξῶν γὰρ οἱ ἐόντων πρεσβυτέρων ἀδελφεῶν, 6
Κλεομένεός τε καὶ Δωριέος, ἀπελήλατο τῆς φροντίδος
περὶ τῆς βασιληΐης. ἀποθανόντος δὲ Κλεομένεος
ἄπαιδος ἔρσενος γόνου, Δωριέος τε οὐκέτι ἐόντος,
ἀλλὰ τελευτήσαντος καὶ τούτου ἐν Σικελίῃ, οὕτω δὴ
ἐς Λεωνίδην ἀνέβαινε ἡ βασιληΐη, καὶ διότι πρότερος
ἐγεγόνεε Κλεομβρότου· οὗτος γὰρ ἦν νεώτατος Ἀνα-
ξανδρίδεω παῖς· καὶ δὴ καὶ εἶχε Κλεομένεος θυγατέρα.
ὃς τότε ἤϊε ἐς Θερμοπύλας ἐπιλεξάμενος ἄνδρας τε 7
τοὺς κατεστεῶτας τριηκοσίους, καὶ τοῖσι ἐτύγχανον
παῖδες ἐόντες. παραλαβὼν δὲ ἀπίκετο καὶ Θηβαίων
τοὺς ἐς τὸν ἀριθμὸν λογισάμενος εἶπον, τῶν ἐστρα-
τήγεε Λεοντιάδης ὁ Εὐρυμάχου. τοῦδε δὲ εἵνεκα
τούτους σπουδὴν ἐποιήσατο Λεωνίδης μούνους
Ἑλλήνων παραλαβεῖν, ὅτι σφέων μεγάλως κατηγόρητο
μηδίζειν. παρεκάλεε οὖν ἐς τὸν πόλεμον, θέλων
εἰδέναι, εἴτε συμπέμψουσι, εἴτε καὶ ἀπερέουσι ἐκ
τοῦ ἐμφανέος τὴν Ἑλλήνων συμμαχίην. οἱ δέ, ἀλλο-
φρονέοντες, ἔπεμπον.
C. 206. Τούτους μὲν τοὺς ἀμφὶ Λεωνίδην πρώ- 8
τους ἀπέπεμψαν Σπαρτιῆται, ἵνα τούτους ὁρῶντες

6. ἀδελφεῶν §. 41, B, 2. — ἀπελήλατο τῆς φρόντιδος, dem Herod. eigenthümlich i. e. ἀπαλλαχθεὶς τῆς φρ. liber erat a cura. — ἔρσενος §. 41, B, 1. — οὕτω δή s. ob. A, 1, 16. καὶ διότι. καὶ mit besonderm Gewicht für den folgenden Grund. ἐγεγόνεε §. 33, C. καὶ δὴ καί hebt immer etwas Besonderes vor dem Allgemeinen aus: unter andern auch. s. unt. 16.
7. ὅς i. e. οὗτος δή. καὶ οὗτος. s. ob. A, 1, 286. ἤϊε §. 65, III, Imperf. κατεστεῶτας §. 60, C, 2, e. i. e. constitutos illos. — Θηβαίων τούς i. e. τούτους, οὕς. Das Demonstrat. vor dem Relativ wird häufig unterdrückt. s. unt. 15. — κατηγόρητο σφέων Buttm. gr. Gr. §. 119, 5, 3. — εἴτε συμπέμψουσι — ἀπερέουσι. vergl. unt. 10. — ἀλλοφρονέοντες sc. καίπερ.
8. τοὺς ἀμφὶ Λε. Buttm. gr. Gr. p. 585. μετὰ δέ. Im Herodot stehen die Präpositionen oft noch ohne Kasus und vom Verbo getrennt (unt. 22. 23.), wie bey Homer.

οἱ ἄλλοι σύμμαχοι στρατεύωνται, μηδὲ καὶ οὗτοι μηδίσωσι, ἢν αὐτοὺς πυνθάνωνται ὑπερβαλλομένους· μετὰ δὲ (Κάρνεια γάρ σφι ἦν ἐμποδών) ἔμελλον ὁρτάσαντες, καὶ φυλακὰς λιπόντες ἐν τῇ Σπάρτῃ, κατὰ τάχος βοηθήσειν πανδημεί. ὣς δὲ καὶ οἱ λοιποὶ τῶν συμμάχων ἐνένωντο καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιήσειν· ἦν γὰρ κατὰ τὠϋτὸ Ὀλυμπιὰς τούτοισι τοῖσι πρήγμασι συμπεσοῦσα. οὔκων δοκέοντες κατὰ τάχος οὕτω διακριθήσεσθαι τὸν ἐν Θερμοπύλῃσι πόλεμον, ἔπεμπον τοὺς προδρόμους. οὗτοι μὲν

9 δὴ οὕτω διενένωντο ποιήσειν. 207. Οἱ δὲ ἐν Θερμοπύλῃσι Ἕλληνες, ἐπειδὴ πέλας ἐγένετο τῆς ἐςβολῆς ὁ Πέρσης, καταῤῥωδέοντες, ἐβουλεύοντο περὶ ἀπαλλαγῆς. τοῖσι μέν νυν ἄλλοισι Πελοποννησίοισι ἐδόκεε, ἐλθοῦσι ἐς Πελοπόννησον, τὸν Ἰσθμὸν ἔχειν ἐν φυλακῇ. Λεωνίδης δὲ, Φωκέων καὶ Λοκρῶν περισπερχέων ἐόντων τῇ γνώμῃ ταύτῃ, αὐτοῦ τε μένειν ἐψηφίζετο, πέμπειν τε ἀγγέλους ἐς τὰς πόλιας, κελεύοντάς σφι ἐπιβοηθέειν, ὡς ἐόντων αὐτέων ὀλί-

10 γων στρατὸν τῶν Μήδων ἀλέξασθαι. 208. Ταῦτα βουλευομένων σφέων, ἔπεμπε Ξέρξης κατάσκοπον ἱππέα, ἰδέσθαι ὁκόσοι τέ εἰσι, καὶ ὅ τι ποιέοιεν.

— Κάρνεια, s. II, A, 5. ein Fest, das vorzüglich zu Lakedämon, 9 Tage lang zu Ehren des Ἀπόλλων Καρνεῖος im Monat gleiches Namens (bey den Attikern Μεταγειτνιών) gefeiert wurde. Festliche Tage hielten die tapfern Lakedämonier oft von kriegerischen Unternehmungen ab, dahin gehören auch die Hyakinthien. — ἐνένωντο, siehe vorh. 2 ὀγδώκοντα. ob A, 1, 378. — τὠϋτό §. 47, 2. — Ὀλυμπιάς, die 75ste. Durch die olympischen Spiele, welche mit den Karneen in die Mitte des Sommers fielen, wurden die übrigen Griechen, wie die Lakedämonier durch die Karneen, abgehalten.

9. μέν νυν s. ob A, 1, 31. — ὡς ἐόντων vorher 4. ὀλίγων — ἀλέξασθαι. Man erwartet nach unserm Sprachgebrauch ἐλασσόνων; aber die Griechen behalten die Vergleichung zuweilen blos in der Idee, ohne sie in der Form des Satzes zu bezeichnen. Herod. VI, 109. ὀλίγους γὰρ εἶναι στρατιῇ τῇ Μήδων συμβαλέειν. Vollständiger steht dann oft noch ὥστε dabey. Matthiä gr. Gr. §. 448.

10. ὁκόσοι (ob. C, 7, 1.) εἰσι — ποιέοιεν. Die

ἀκηκόεε δὲ ἔτι ἐὼν ἐν Θεσσαλίῃ, ὡς ἁλισμένη εἴη ταύτῃ στρατιὴ ὀλίγη, καὶ τοὺς ἡγεμόνας, ὡς εἴησαν Λακεδαιμόνιοί τε καὶ Λεωνίδης ἐὼν γένος Ἡρακλεΐδης. ὡς δὲ προςέλασε ὁ ἱππεὺς πρὸς τὸ στρατόπεδον, ἐθηεῖτό τε καὶ κατώρα πᾶν μὲν οὐ τὸ στρατόπεδον· τοὺς γὰρ ἔσω τεταγμένους τοῦ τείχεος, τὸ ἀνορθώσαντες εἶχον ἐν φυλακῇ, οὐκ οἷά τε ἦν κατιδέσθαι· ὁ δὲ τοὺς ἔξω ἐμάνθανε, τοῖσι πρὸ τοῦ τείχεος τὰ ὅπλα ἔκειτο. ἔτυχον δὲ τοῦτον τὸν χρόνον Λακεδαιμόνιοι ἔξω τεταγμένοι. τοὺς μὲν δὴ ὥρα 11
γυμναζομένους τῶν ἀνδρῶν, τοὺς δὲ τὰς κόμας κτενιζομένους. ταῦτα δὴ θεώμενος, ἐθώϋμαζε, καὶ τὸ πλῆθος ἐμάνθανε. μαθὼν δὲ πάντα ἀτρεκέως, ἀπήλαυνε ὀπίσω κατ' ἡσυχίην. οὔτε γάρ τις ἐδίωκε, ἀλογίης τε ἐνεκύρησε πολλῆς· ἀπελθὼν δὲ, ἔλεγε πρὸς Ξέρξεα τάπερ ὀπώπεε πάντα. 209. Ἀκούων δὲ Ξέρξης 12
οὐκ εἶχε συμβαλέσθαι τὸ ἐόν, ὅτι παρασκευάζοντο ὡς ἀπολεύμενοί τε καὶ ἀπολέοντες κατὰ δύναμιν· ἀλλ', αὐτῷ γελοῖα γὰρ ἐφαίνοντο ποιέειν, μετεπέμψατο Δημάρητον τὸν Ἀρίστωνος ἐόντα ἐν τῷ στρατοπέδῳ.

Griechen können in den abhängigen Sätzen der indirecten Rede statt des Optativs auch den Indikativ, vorzüglich des Präsens und Futuri (vorher 7.) eintreten lassen; nicht selten kommen beyde Modi zusammen. Herod. VIII, 70. ἀκηκόεε s. vorher 6. — ἡγέμονας aus dem folgenden zu ἀκήκοεε bezogen. ob. E, 3, 6. — κατώρα (§. 80, A, 2, b.). οὐκ οἷα und 11. κατ' ἡσυχίην §. 45, 1. — τοῦ — τείχεος, die Mauer am Eingange des Passes, einst mit einem Thore (πύλαι) versehen, die früher die Phokeer gegen die Thessalier errichtet, jetzt aber von ihrem Verfall die Griechen wieder hergestellt (ἀνορθώσαντες) hatten. C. 176. und unten C. 215.

11. κτενιζομένους. Vorzüglich nach dem Siege über die Argeier ward es bey den Spartanern Sitte, das Haar lang zu tragen; vor der Schlacht ordneten sie es, wie die Ringer auf der Palästra, um den Feind freier anzublicken. s. unt. 12. — ἀλογίης ἐνεκύρησε (jon. Wort, c. Dat. unt. 22.) in contemtum incidit.

12. ἀλλ', αὐτῷ — γάρ s. ob. A, 1, 337. — Demaratos, ein spartanischer König, der wegen Streitigkeiten mit seinem Mitkönig, Kleomenes, Sparta verlassen hatte und

ἀπικόμενον δέ μιν εἰρώτα Ξέρξης ἕκαστα τουτέων, ἐθέλων μαθέειν τὸ ποιεύμενον πρὸς τῶν Λακεδαιμονίων. ὁ δὲ εἶπε· Ἤκουσας μέν μευ καὶ πρότερον, εὖτε ὁρμῶμεν ἐπὶ τὴν Ἑλλάδα, περὶ τῶν ἀνδρῶν τουτέων. ἀκούσας δὲ γέλωτά με ἔθευ, λέγοντα τῇπερ ὥρων ἐκβησόμενα πρήγματα ταῦτα. ἐμοὶ γὰρ τὴν ἀληθηΐην ἀσκέειν ἀντία σεῦ, ὦ βασιλεῦ, ἀγὼν μέγιστός ἐστι· ἄκουσον δὲ καὶ νῦν. οἱ ἄνδρες οὗτοι ἀπίκαται μαχεσόμενοι ἡμῖν περὶ τῆς ἐςόδου, καὶ ταῦτα παρασκευάζονται. νόμος γάρ σφι οὕτω ἔχων ἐστί· ἐπεὰν μέλλωσι κινδυνεύειν τῇ ψυχῇ,
13 τότε τὰς κεφαλὰς κοσμέονται. ἐπίστασο δέ, εἰ τούτους τε καὶ τὸ ὑπομένον ἐν Σπάρτῃ καταστρέψεαι, ἔστι οὐδὲν ἄλλο ἔθνος ἀνθρώπων, τό σε, βασιλεῦ, ὑπομενέει χεῖρας ἀνταειρόμενον. νῦν γὰρ πρὸς βασιληΐην τε καλλίστην τῶν ἐν Ἕλλησι προςφέρεαι, καὶ ἄνδρας ἀρίστους.“ κάρτα τε δὴ ἄπιστα Ξέρξῃ ἐφαίνετο τὰ λεγόμενα εἶναι, καὶ δεύτερα ἐπειρώτα, ὅντινα τρόπον, τοσοῦτοι ἐόντες, οἷοί τέ εἰσι τῇ ἑωϋτοῦ στρατιῇ μαχέσασθαι. ὁ δὲ εἶπε· „Ὦ βασιλεῦ, ἐμοὶ χρᾶσθαι ὡς ἀνδρὶ ψεύστῃ, ἢν μὴ ταῦτά τοι
14 ταύτῃ ἐκβῇ, τῇ ἐγὼ λέγω.“ 210 Ταῦτα λέγων, οὐκ ἔπειθε τὸν Ξέρξεα. τέσσερας μὲν δὴ παρεξῆκε ἡμέρας, ἐλπίζων αἰεί σφεας ἀποδρήσεσθαι. πέμπτῃ δέ, ὡς οὐκ ἀπαλλάσσοντο, ἀλλά οἱ ἐφαίνοντο, ἀναιδείῃ

nach Persien geflüchtet war, aber auch im Auslande die Liebe für sein Vaterland nicht verlieren konnte. Darius und Xerxes achteten ihn sehr und zogen ihn in bedenklichen Fällen gewöhnlich zu Rathe. — εἰρώτα §. 41, B, 5. — γέλωτά με ἔθευ, wie wir: zum Gelächter machen. — ἀπίκαται §. 62, 6, a. — μαχεσόμενοι Buttm. gr. Gr. §. 131, 3. — κεφαλὰς κοσμ. s. vorher 11.

13. ἐπίστασο — ἔστι, einfache Verbindung für das Participium. — ὑπομενέει χ. ἀνταειρόμενον s. ob. C, 10, 11. — ὅντινα — οἷοί τέ εἰσι s. vorh. 10. — ἐμοὶ χρᾶσθαι (§. 63, 9.) s. ob. A, 1, 291. Auch den Persern war die Lüge schändlich. Herod. I, 138. αἴσχιστον τὸ ψεύδεσθαι νενόμισται.

14. παρεξῆκε, praeterlabi passus est. —

τε καὶ ἀβουλίῃ διαχρεώμενοι, μένειν, πέμπει ἐπ' αὐτοὺς Μήδους τε καὶ Κισσίους θυμωθείς, ἐντειλάμενός σφεας ζωγρήσαντας ἄγειν ἐς ὄψιν τὴν ἑωϋτοῦ. ὡς δ' ἐπέπεσον φερόμενοι ἐς τοὺς Ἕλληνας οἱ Μῆδοι, ἔπιπτον πολλοί· ἄλλοι δ' ἐπεσήϊσαν, καὶ οὐκ ἀπέλαυνον, καίπερ μεγάλως προσπταίοντες. δῆλον δ' ἐποίευν παντί τεῳ, καὶ οὐκ ἥκιστα αὐτῷ βασιλέϊ, ὅτι πολλοὶ μὲν ἄνθρωποι εἶεν, ὀλίγοι δὲ ἄνδρες.
ἐγίνετο δὲ ἡ συμβολὴ δι' ἡμέρης. 211. Ἐπεί τε δὲ οἱ 15
Μῆδοι τρηχέως περιείποντο, ἐνθαῦτα οὗτοι μὲν ὑπεξήϊσαν, οἱ δὲ Πέρσαι ἐκδεξάμενοι ἐπήϊσαν, τοὺς ἀθανάτους ἐκάλεε βασιλεύς, τῶν ἦρχε Ὑδάρνης, ὡς δὴ οὗτοί γε εὐπετέως κατεργασόμενοι. ὡς δὲ καὶ τῆς στρατιῆς τῆς Μηδικῆς, ἀλλὰ τὰ αὐτά, ἅτε ἐν οὗτοι συνέμισγον τοῖσι Ἕλλησι, οὐδὲν πλέον ἐφέροντο στεινοπόρῳ τε χώρῳ μαχόμενοι, καὶ δόρασι βραχυτέροισι χρεώμενοι, ἤπερ οἱ Ἕλληνες, καὶ οὐκ
ἔχοντες πλήθεϊ χρήσασθαι. Λακεδαιμόνιοι δὲ ἐμά- 16
χοντο ἀξίως λόγου, ἄλλα τε ἀποδεικνύμενοι ἐν οὐκ

— διαχρεώμενοι §. 63, 4. διά hier nachdrücklich für den Begriff der Beharrlichkeit. — Κισσίους, die Bewohner der Landschaft Kissia in Persien mit der Hauptstadt Susa. — ζωγρήσαντας s. 1, 2, 14. — ἐπεπ. φερόμενοι magno impetu. πολλοί sc. τῶν Μήδων. — οὐκ ἀπέλαυνον sc. οἱ Ἕλληνες. Ueber das vernachlässigte Augment s. §. 59, 4. unt. 16. und 23. ἀπήλαυνον. — προσπταίοντες, das lat. offendere, unser anlaufen. — παντί τεῳ §. 31, 2. — ἄνδρες, mit Nachdruck, wie vir oft im Sinne von vir fortis.

15. ἐπεί τε. homerische Verbindungsweise, nach welcher τε vielen Cojunctionen und Relativen noch die bindende Kraft leiht, die diese später durch sich selbst erhielten. s. ob. A, 1, 50. — τοὺς — ἐκάλεε s. vorh. 7. ὡς δή. δή verstärkt die Meinung, die in ὡς liegt, sonst auch in dieser Verbindung im ironischen Sinne. Viger. p. 500, XIII. Hoogeveen. p. 575. — οὗτοί γε s. ob. A, 1, 46. — ἅτε beym Participium, wie quippe im Lat.

16. ἄλλα τε mit folgendem καί stellt immer im ersten Satze etwas Allgemeines auf, vor dem im zweiten Satze mit καί das Besondere nachdrücklich ausgehoben

ἐπισταμένοισι μάχεσθαι ἐξεπιστάμενοι, καὶ ὅκως ἐντρέψειαν τὰ νῶτα, ἁλέες φεύγεσκον δῆθεν· οἱ δὲ βάρβαροι, ὁρέοντες φεύγοντας, βοῇ τε καὶ πατάγῳ ἐπήϊσαν· οἱ δ' ἂν καταλαμβανόμενοι, ὑπέστρεφον ἀντίοι εἶναι τοῖσι βαρβάροισι, μεταστρεφόμενοι δὲ, κατέβαλλον πλήθεϊ ἀναριθμήτους τῶν Περσέων· ἔπιπτον δὲ καὶ αὐτέων τῶν Σπαρτιητέων ἐνθαῦτα ὀλίγοι. ἐπεὶ δὲ οὐδὲν ἐδυνέατο παραλαβεῖν οἱ Πέρσαι τῆς ἐσόδου πειρεώμενοι, καὶ κατὰ τέλεα καὶ παντοίως προςβάλλοντες, ἀπήλαυνον ὀπίσω.

17 212. Ἐν ταύτῃσι τῇσι προσόδοισι τῆς μάχης λέγεται βασιλῆα θηεύμενον τρὶς ἀναδραμεῖν ἐκ τοῦ θρόνου, δείσαντα περὶ τῇ στρατιῇ. τότε μὲν οὕτω ἠγωνίσαντο· τῇ δ' ὑστεραίῃ οἱ βάρβαροι οὐδὲν ἄμεινον ἀέθλεον· ἅτε γὰρ ὀλίγων ἐόντων, ἐλπίσαντές σφεας κατατετρωματίσθαι τε καὶ οὐκ οἵους τε ἔσεσθαι ἔτι χεῖρας ἀνταείρασθαι, συνέβαλλον. οἱ δὲ Ἕλληνες κατὰ τάξις τε καὶ κατὰ ἔθνεα κεκοσμημένοι ἔσαν, καὶ ἐν μέρεϊ ἕκαστοι ἐμάχοντο, πλὴν Φωκέων· οὗτοι δὲ ἐς τὸ οὖρος ἐτάχθησαν, φυλάξοντες τὴν ἀτραπόν. ὡς δὲ οὐδὲν εὕρισκον ἀλλοιότερον οἱ Πέρσαι ἢ τῇ προτεραίῃ ἐνώρων, ἀπήλαυνον.

werden soll: cum aliis in rebus — tum imprimis quod; daher ἄλλως τε καὶ praesertim. Viger. p. 378, 7. s. unt. 29. — ἐξεπιστάμενοι, abhängig von ἀποδεικνύμενοι Matth. gr. Gr. §. 549, 5. — ὅκως (ὁπότε) ἐντρέψειαν Buttm. gr. Gr. §. 126, p. 522, Anm. 6. — φεύγεσκον §. 59, A, 5. Man erwartet nach der angefangenen Verbindungsweise φεύγοντες, s. eine ähnliche Unterbrechung vorher 13. unt. 24. — βοῇ τε καὶ πατάγῳ ἐπ. nicht ohne Beziehung auf die barbarische Sitte der Perser. So bey Homer Iliad. γ, 2. Die Trojaner: κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν, ὄρνιθες ὥς· Die Griechen V. 8. ἴσαν σιγῇ μένεα πνείοντες ꝛc. — ἂν καταλαμβανόμενοι Buttm. gr. Gr. §. 126, 14. — ἐδυνέατο §. 62, 6.

17. ἐλπίσαντες i. e. νομίσαντες. s. unt. 22. — ἐν μέρεϊ i. e. sua quisque vice, per vices. ἕκαστοι. das Geschlecht blos dem Sinne nach in ἔθνεα. — οὐδὲν ἀλλοιότερον, ἢ sc. ὃ. Aehnlich wird oft εἰ hinter ἢ weggelassen s. II, D, 1, 81.

213. Ἀπορέοντος δὲ βασιλῆος, ὅ, τι χρήσεται τῷ παρεόντι πρήγματι, Ἐπιαλτης ὁ Εὐρυδήμου, ἀνὴρ Μηλιεύς, ἦλθέ οἱ ἐς λόγους, ὡς μέγα τι παρὰ βασιλῆος δοκέων οἴσεσθαι, ἔφρασέ τε τὴν ἀτραπὸν τὴν διὰ τοῦ οὔρεος φέρουσαν ἐς Θερμοπύλας, καὶ διέφθειρε τοὺς ταύτῃ διαμείναντας Ἑλλήνων. ὕστερον δὲ δείσας Λακεδαιμονίους, ἔφυγε ἐς Θεσσαλίην καί οἱ φυγόντι ὑπὸ τῶν Πυλαγόρων, τῶν Ἀμφικτυόνων ἐς τὴν Πυλαίαν συλλεγομένων, ἀργύριον ἐπεκηρύχθη. χρόνῳ δὲ ὕστερον (κατῆλθε γὰρ ἐς Ἀντικύρην) ἀπέθανε ὑπὸ Ἀθηνάδεω, ἀνδρὸς Τρηχινίου· ὁ δὲ Ἀθηνάδης οὗτος ἀπέκτεινε μὲν Ἐπιάλτεα δι᾽ ἄλλην αἰτίην, τὴν ἐγὼ ἐν τοῖσι ὄπισθε λόγοισι σημανέω· ἐτιμήθη μέντοι ὑπὸ Λακεδαιμονίων οὐδὲν ἔσσον. Ἐπιάλτης μὲν οὕτω ὕστερον τουτέων ἀπέθανε. — 18

215. Ξέρξης δέ, ἐπεί οἱ ἤρεσε τὰ ὑπέσχετο Ἐπιάλτης κατεργάσεσθαι, αὐτίκα περιχαρὴς γενόμενος, ἔπεμπε Ὑδάρνεα καὶ τῶν ἐστρατήγεε Ὑδάρνης· ὡρμέατο δὲ περὶ λύχνων ἁφὰς ἐκ τοῦ στρατοπέδου· τὴν δὲ ἀτραπὸν ταύτην ἐξεῦρον μὲν οἱ ἐπιχώριοι Μηλιέες· ἐξευρόντες δέ, Θεσσαλοῖσι κατηγήσαντο ἐπὶ Φωκέας τότε, ὅτε οἱ Φωκέες, φράξαντες τείχεϊ τὴν ἐσβολήν, ἔσαν ἐν σκέπῃ τοῦ πολέμου· ἔκ τε 19

18. ὅ,τι χρήσεται s. vorh. 7 10. u. 13. — ὡς δοκέων οἴσεσθαι, voller, als ὡς οἰσόμενος, erklärt den Sinn von ὡς beym Participio. vergl unt. 22. — Πυλαγόρων. Die Pylagoren sind von den Amphiktyonen zu unterscheiden. Etymol. M. Πυλαγόροι, οἱ προεστῶτες Πυλαίας (conventus Amphictyonum principes) ἢ οἱ πεμπόμενοι ἀπὸ τῶν πόλεων εἰς Ἀμφικτυονίαν ῥήτορες, ὥστε ἐκεῖ ἀγορεῦσαι. — τὴν ἐγὼ — σημανέω. Dies geschieht nirgends in der folgenden Erzählung.

In C. 214. widerlegt Herodot die Meinung Anderer, daß Onetes, ein Karystier, und Korydalos, ein Antikyreer, dem König den Weg gezeigt hätten. Nach Ktesias Excerpten waren es zwey Trachinier, Kalliadas und Timaphernos.

19. ὡρμέατο §. 62, 7. — περὶ λύχνων ἁφάς i. e. initio noctis. — φράξαντες τείχεϊ s. vorh. 10. — ἐν σκέπῃ τοῦ πολέμου, in tuto belli loco. So oft ἐν

τόσου δὴ κατεδέδεκτο ἐοῦσα οὐδὲν χρηστὴ Μη-
20 λιεῦσι. 216. Ἔχει δὲ ὧδε ἡ ἀτραπὸς αὕτη. ἄρχε-
ται μὲν ἀπὸ τοῦ Ἀσωποῦ ποταμοῦ τοῦ διὰ τῆς
διασφάγος ῥέοντος· οὔνομα δὲ τῷ οὔρεϊ τούτῳ,
καὶ τῇ ἀτραπῷ τὠυτὸ κεῖται, Ἀνόπαια· τείνει δὲ
ἡ Ἀνόπαια αὕτη κατὰ ῥάχιν τοῦ οὔρεος, λήγει δὲ
κατά τε Ἀλπηνὸν πόλιν, πρώτην ἐοῦσαν τῶν Λο-
κρίδων πρὸς τῶν Μηλιέων, καὶ κατὰ Μελάμπυγόν
τε καλεόμενον λίθον, καὶ κατὰ Κερκώπων ἕδρας· τῇ
21 καὶ τὸ στεινότατόν ἐστιν. 217. Κατὰ ταύτην δὴ
τὴν ἀτραπὸν καὶ οὕτω ἔχουσαν οἱ Πέρσαι, τὸν
Ἀσωπὸν διαβάντες, ἐπορεύοντο πᾶσαν τὴν νύκτα,
ἐν δεξιῇ μὲν ἔχοντες οὔρεα τὰ Οἰταίων, ἐν ἀριστερῇ
δὲ τὰ Τρηχινίων. ἠώς τε δὴ διέφαινε, καὶ ἐγένοντο
ἐπ᾽ ἀκρωτηρίῳ τοῦ οὔρεος. κατὰ δὲ τοῦτο τοῦ οὔρεος
ἐφύλασσον, ὡς καὶ πρότερόν μοι δεδήλωται, Φωκέων
χίλιοι ὁπλῖται, ῥυόμενοί τε τὴν σφετέρην χώρην,
καὶ φρουρέοντες τὴν ἀτραπόν. ἡ μὲν γὰρ κάτω
ἐσβολὴ ἐφυλάσσετο ὑπὸ τῶν εἴρηται, τὴν δὲ διὰ τοῦ
οὔρεος ἀτραπὸν ἐθελονταὶ Φωκέες, ὑποδεξάμενοι
22 Λεωνίδῃ, ἐφύλασσον. 218. Ἔμαθον δέ σφεας οἱ
Φωκέες ὧδε ἀναβεβηκότας· ἀναβαίνοντες γὰρ ἐλάν-
θανον οἱ Πέρσαι τὸ οὖρος, πᾶν ἐὸν δρυῶν ἐπίπλεον.

σκ. τοῦ κινδύνου, τοῦ φόβου, τοῦ κρύους, sicher vor ꝛc. — ἐκ τόσου sc. χρόνου. — κατεδέδεκτο §. 41, B, 4. οὖσα s. vorh. 16.

20. οὔρεϊ §. 9, 4. — Ἀλπηνός, südlich von Thermopylä in der waldigen Ebene Bessa. τῇ καὶ τὸ στεινότατον. Der Paß hatte zwey Hauptengen, die eine nördlich von Thermopylä bey Anthela, die andere südlich von Therm. bey Alpenos; beyde waren nur ἁμαξιτός, so breit, daß ein Wagen durchfahren konnte. — Μελάμπυγον λ. bezieht sich auf die Sage vom Herkules Melampygos und von seinen Siegen über die trügerischen Kerkopen (bey Ephesos).

21. κατὰ τοῦτο τοῦ οὔρεος Buttm. gr. Gr. §. 119, 4. b. — πρότερον (ob. c. 212.) μοι δεδήλωται. Buttm. gr. Gr. §. 121, 4. — ὑπὸ τῶν (s. vorh. 7. 19.) εἴρηται c. 202. —

22. ἀναβαίνοντες ἐλάνθ. Buttm. gr. Gr. §. 131, Anm. 8.

ἦν μὲν δὴ νηνεμίη, ψόφου δὲ γενομένου πολλοῦ, ὡς οἰκὸς ἦν, φύλλων ὑποκεχυμένων ὑπὸ τοῖσι ποσί, ἀνά τε ἔδραμον οἱ Φωκέες καὶ ἐνέδυνον τὰ ὅπλα· καὶ αὐτίκα οἱ βάρβαροι παρῆσαν. ὡς δὲ εἶδον ἄνδρας ἐνδυομένους ὅπλα, ἐν θώυματι ἐγένοντο. ἐλπόμενοι γὰρ οὐδέν σφι φανήσεσθαι ἀντίξοον, ἐνεκύρησαν στρατῷ. ἐνθαῦτα Ὑδάρνης καταῤῥωδήσας, μὴ οἱ Φωκέες ἔωσι Λακεδαιμόνιοι, εἴρετο Ἐπιάλτεα, ποδαπὸς εἴη ὁ στρατός· πυθόμενος δὲ ἀτρεκέως, διέτασσε τοὺς Πέρσας ὡς ἐς μάχην. οἱ δὲ Φωκέες, ὡς ἐβάλλοντο τοῖσι τοξεύμασι πολλοῖσί τε καὶ πυκνοῖσι, οἴχοντο φεύγοντες ἐπὶ τοῦ οὔρεος τὸν κόρυμβον, ἐπιστάμενοι ὡς ἐπὶ σφέας ὡρμήθησαν ἀρχήν, καὶ παρεσκευάδατο ὡς ἀπολεόμενοι. οὗτοι μὲν δὴ ταῦτα ἐφρόνεον· οἱ δὲ ἀμφὶ Ἐπιάλτεα καὶ Ὑδάρνεα Πέρσαι Φωκέων μὲν οὐδένα λόγον ἐποιεῦντο, οἱ δὲ κατέβαινον τὸ οὖρος κατὰ τάχος. 219.
Τοῖσι δὲ ἐν Θερμοπύλῃσι ἐοῦσι Ἑλλήνων πρῶτον 23
μὲν ὁ μάντις Μεγιστίης, ἐςιδὼν ἐς τὰ ἱρά, ἔφρασε τὸν μέλλοντα ἔσεσθαι ἅμα ἠοῖ σφι θάνατον· ἐπὶ δὲ καὶ αὐτόμολοι ἤϊσαν οἱ ἐξαγγείλαντες τῶν Περσέων τὴν περίοδον· οὗτοι μὲν ἔτι νυκτὸς ἐσήμηναν· τρίτοι δὲ οἱ ἡμεροσκόποι, καταδραμόντες ἀπὸ τῶν ἄκρων, ἤδη διαφαινούσης ἡμέρης. ἐνθαῦτα ἐβουλεύοντο οἱ Ἕλληνες, καί σφεων ἐσχίζοντο αἱ γνῶμαι.

— ἀνά τε ἔδρ. s. vorh. 8. — ἐνθαῦτα §. 66, A, 4, c. s. ob. A, 1, 11. — ἀτρεκέως homerisch, s. ob. A, 1, B. 179. 214. — οἴχοντο φεύγοντες unt. 27. s. ob. A, 1, 127. und 441. Buttm. gr. Gr. 131, Anm. 8. — ἐπιστάμενοι i. e. νομίζοντες, daher ὡς vergl. die ähnliche Wendung vorh. 18. — ἀρχήν s. ob. D, 33, 7. — παρεσκευάδατο §. 62, 6, a.

23. Μεγιστίης s. C. 221. — αὐτόμολοι Diod. Sic. XI, p. 410. spricht nur von einem, Tyrastiadas. ἡμεροσκόποι. Tagwächter, die vor Anbruch des Tages auf den bestimmten Posten gingen und mit einbrechender Nacht wieder zurückkehrten; nur selten wachten sie auch des Nachts und gaben dann ihr Zeichen durch Feuer, am Tage durch Rauch. In der Nähe der Gefahr eilten sie zu jeder Zeit

οἱ μὲν γὰρ οὐκ ἔων τὴν τάξιν ἐκλιπεῖν· οἱ δὲ ἀντέτεινον. μετὰ δὲ τοῦτο διακριθέντες, οἱ μὲν ἀπαλλάσσοντο, καὶ διασκεδασθέντες, κατὰ πόλις ἕκαστοι ἐτράποντο, οἱ δὲ αὐτέων ἅμα Λεωνίδῃ μέ-
24 νειν αὐτοῦ παρασκευάδατο. 220. Λέγεται δέ, ὡς αὐτός σφεας ἀπέπεμψε Λεωνίδης, μὴ ἀπόλωνται κηδόμενος· αὐτῷ δὲ καὶ Σπαρτιητέων τοῖσι παρεοῦσι οὐκ ἔχειν εὐπρεπέως ἐκλιπεῖν τὴν τάξιν, ἐς τὴν ἦλθον φυλάξοντες ἀρχήν. ταύτῃ καὶ μᾶλλον τῇ γνώμῃ πλεῖστός εἰμι, Λεωνίδην, ἐπεί τε ᾔσθετο τοὺς συμμάχους ἐόντας ἀπροθύμους, καὶ οὐκ ἐθέλοντας συνδιακινδυνεύειν, κελεῦσαί σφεας ἀπαλλάσσεσθαι· αὐτῷ δὲ ἀπιέναι οὐ καλῶς ἔχειν. μένοντι δὲ αὐτοῦ, κλέος μέγα ἐλείπετο, καὶ ἡ Σπάρτης εὐδαιμονίη οὐκ ἐξηλείφετο. ἐκέχρητο γὰρ ὑπὸ τῆς Πυθίης τοῖσι Σπαρτιήτῃσι χρεωμένοισι περὶ τοῦ πολέμου τούτου αὐτίκα κατ᾽ ἀρχὰς ἐγειρομένου, ἢ Λακεδαίμονα ἀνάστατον γενέσθαι ὑπὸ τῶν βαρβάρων, ἢ τὸν βασιλῆά σφεων

zu den Ihrigen. — *οὐκ ἔων* §. 59, 4. s. vorh. 14. — *διακριθέντες*, was unt. 25. *γνώμῃ διενεχθέντες*.

24 *αὐτοὶ — — Λεωνίδης*, bemerke die Stellung der Wörter. s. ob II, A, 1. 13. — *κηδόμενος*. mehr dichterisch. — *αὐτῷ δὲ — — οὐκ ἔχειν.* Die angefangene Construction mit *ὡς* wandelt sich in den Infinitiv. Solcher Wechsel der Verbindungen in derselben Abhängigkeit, dem Herodot eigenthümlich, gehört der sorglosen epischen Diction an. Siehe gleich unten *μένοντι δὲ αὐτοῦ, κλέος μέγα ἐλείπετο*, wo man *λείπεσθαι* erwartet und *ἐξαλείφεσθαι*. vergl. vorh. 16. Aehnliches in Beziehung auf die Modos vorh. 13. — *ταύτῃ τῇ γν. πλεῖστός εἰμι*, wir in einigen Dialecten: dieser Meinung bin ich der meist. Gewöhnlicher *ταύτῃ μ. τῇ γν. προστίθεμαι* oder *τίθεμαι*. Herod. 1, 120. *καὶ αὐτὸς — ταύτῃ πλεῖστος τῇ γνώμῃ εἰμί.* Soph. Oed. Tyr. 556. *καὶ νῦν ἔθ᾽ ωὐτός εἰμι τῷ βουλεύματι.* — *οὐκ ἐξηλείφετο* scheint ein gewähltes Wortspiel mit dem vorhergehenden *ἐλείπετο* zu bilden. *ἀναστ. γενέσθαι* (enthält den Begriff des Fut.), denke *ἄν* dazu. Buttm. gr. Gr. §. 126, 14. —

ἀπολέεσθαι. ταῦτα δέ σφι ἐν ἔπεσι ἑξαμέτροισι χρᾷ, λέγοντα ὧδε,

Ὑμῖν δ᾽, ὦ Σπάρτης οἰκήτορες εὐρυχόροιο, 25
Ἢ μέγα ἄστυ ᾽ρικυδὲς ὑπ᾽ ἀνδράσι Περσείδησι
Πέρθεται, ἢ τὸ μὲν οὐκί, ἀφ᾽ Ἡρακλέος δὲ γενέθλης
Πενθήσει βασιλῆ φθίμενον Λακεδαίμονος οὖρος.
Οὐ γὰρ τὸν ταύρων σχήσει μένος, οὐδέ ἑ φημὶ
Σχήσεσθαι, πρὶν τῶνδ᾽ ἕτερον διὰ πάντα δάσηται.

ταῦτά τε δὴ ἐπιλεγόμενον Λεωνίδην, καὶ βουλόμενον κλέος καταθέσθαι μούνων Σπαρτιητέων, ἀποπέμψαι τοὺς συμμάχους μᾶλλον, ἢ γνώμῃ διενεχθέντας οὕτω ἀκόσμως οἴχεσθαι τοὺς οἰχομένους. 26
221. Μαρτύριον δέ μοι καὶ τόδε οὐκ ἐλάχιστον τούτου πέρι γέγονε. οὐ γὰρ μοῦνον τοὺς ἄλλους, ἀλλὰ καὶ τὸν μάντιν, ὃς εἵπετο τῇ στρατιῇ ταύτῃ, Μεγιστίην τὸν Ἀκαρνῆνα, λεγόμενον εἶναι τὰ ἀνέκαθεν ἀπὸ Μελάμποδος, τοῦτον εἴπαντα ἐκ τῶν ἱρῶν τὰ μέλλοντά σφι ἐκβαίνειν, φανερός ἐστι Λεωνίδης ἀποπέμπων, ἵνα μὴ συναπόληταί σφι. ὁ δέ, ἀποπεμπόμενος αὐτὸς μὲν οὐκ ἀπέλιπε, τὸν δὲ παῖδα συστρατευόμενον, ἐόντα οἱ μουνογενέα, ἀπέπεμψε.

— χρᾷ siehe vorher 13. —

25. Περσείδησι. die Perser hielten den Perses, Perseus Sohn, für ihren Stammvater. c. 150. τὸ μέν, wie so oft das epische ὄγε, vorzüglich in Gegensätzen s. ob. A, 1, 195. III, B, 6, 28. D, 12, 5. — οὐκί A, 1, 268. — Ἡρακλ. γεν. s. ob. c. 204. u. C, 9, 1. — βασιλῆ, wie ἐπὶ Τυδῆ Iliad. δ, 384. seltne ion. Form für βασιλῆα. — Λακεδ. οὖρος, wie im Lat. finis umschreibend. c. 141. Κέκροπος οὖρος. — οὐ γὰρ τόν, den Xerxes. — τῶνδ᾽ ἕτερον, einen der zwey spartanischen Könige.

26. μαρτύριον δέ μοι. — οὐ γάρ ꝛc. Buttm. gr. Gr. pag. 601, 5. — τὰ ἀνέκαθεν s. I, 7, 1. ἀπὸ Μελάμποδος, einem alten Seher, der den Bakchosdienst von Aegypten her nach Griechenland gebracht haben soll, nach Herod. II, 4. 9. vergl. Odyss. ο, 226 sqq. — φανερός ἐςι — ἀποπέμπων. Matth. gr. Gr. §. 296. s. vorh. 6. —

27 222. Οἱ μὲν νυν σύμμαχοι οἱ ἀποπεμπόμενοι, οἴχοντό τε ἀπιόντες, καὶ ἐπείθοντο Λεωνίδῃ. Θεσπιέες δὲ καὶ Θηβαῖοι κατέμειναν μοῦνοι παρὰ Λακεδαιμονίοισι· τουτέων δὲ Θηβαῖοι μὲν ἀέκοντες ἔμενον, καὶ οὐ βουλόμενοι· κατεῖχε γάρ σφεας Λεωνίδης, ἐν ὁμήρων λόγῳ ποιεύμενος· Θεσπιέες δέ, ἑκόντες μάλιστα· οἳ οὐκ ἔφασαν ἀπολιπόντες Λεωνίδην καὶ τοὺς μετ' αὐτοῦ, ἀπαλλάξεσθαι, ἀλλὰ καταμείναντες συναπέθανον. ἐστρατήγεε δὲ αὐτέων Δημόφιλος
28 Διαδρόμεω. 223. Ξέρξης δέ, ἐπεὶ ἡλίου ἀπανατείλαντος σπονδὰς ἐποιήσατο, ἐπισχὼν χρόνον, ἐς ἀγορῆς κου μάλιστα πληθώρην πρόσοδον ἐποιέετο· καὶ γὰρ ἐπέσταλτο ἐξ Ἐπιάλτεω οὕτω. ἀπὸ γὰρ τοῦ οὔρεος ἡ κατάβασις συντομωτέρη τέ ἐστι, καὶ βραχύτερος ὁ χῶρος πολλόν, ἤπερ ἡ περίοδός τε καὶ ἀνάβασις. οἵ τε δὴ βάρβαροι οἱ ἀμφὶ Ξέρξεα προσήϊσαν, καὶ οἱ ἀμφὶ Λεωνίδην Ἕλληνες, ὡς τὴν ἐπὶ θανάτῳ ἔξοδον ποιεύμενοι, ἤδη πολλῷ μᾶλλον ἢ κατ' ἀρχὰς ἐπεξήϊσαν ἐς τὸ εὐρύτερον τοῦ αὐχένος· τὸ μὲν γὰρ ἔρυμα τοῦ τείχεος ἐφυλάσσετο. οἱ δὲ ἀνὰ τὰς προτέρας ἡμέρας ὑπεξιόντες ἐς τὰ στεινόπορα, ἐμάχοντο. τότε δὴ συμμίσγοντες ἔξω τῶν στεινῶν, ἔπιπτον πλήθεϊ πολλοὶ τῶν βαρβάρων. ὄπισθε γὰρ οἱ ἡγεμόνες τῶν τελέων ἔχοντες μάστιγας, ἐῤῥάπιζον πάντα ἄνδρα, αἰεὶ ἐς τὸ πρόσω ἐποτρύνοντες. πολλοὶ μὲν δὴ ἐσέπιπτον αὐτέων ἐς τὴν θάλασσαν καὶ διεφθείροντο, πολλῷ δ' ἔτι πλεῦνες κατεπατέοντο ζωοὶ ὑπ' ἀλλήλων· ἦν δὲ λόγος οὐδεὶς τοῦ ἀπολλυμένου.

27. ἐν ὁμήρων λόγῳ ποιεύμενος i. e. αὐτοὺς ὁμήρους λογιζόμενος. — ἑκόντες μάλιστα sc. ἔμενον. — οἵ i. e. καὶ οὗτοι. s. vorh. 7.

28. μάλιστά κου, auch κῃ, admodum, circiter. ἐς ἀγορῆς πληθώρην, Vormittags zwischen neun und zehn. Die Eintheilungen des Tages waren: πρωΐ, mane, περὶ πλήθουσαν ἀγοράν, μεσημβρία meridies, περὶ δείλην ὀψίαν, sub crepusculum, ἑσπέρα oder ὀψία, vespera. — λόγος οὐδεὶς τοῦ ἀπολλυμένου s. τῶν ἀπολλυμένων. Das Neutrum im Sing. mit dem Artikel steht oft collective.

ἅτε γὰρ ἐπιστάμενοι τὸν μέλλοντά σφι ἔσεσθαι θά-
νατον ἐκ τῶν περιϊόντων τὸ οὖρος, ἀπεδείκνυντο
ῥώμης ὅσον εἶχον μέγιστον ἐς τοὺς βαρβάρους, πα-
ραχρεώμενοί τε καὶ ἀτέοντες. 224. Δόρατα 29
μέν νυν τοῖσι πλεόνεσιν αὐτέων τηνικαῦτα ἐτύγχανε
κατεηγότα ἤδη, οἱ δὲ τοῖσι ξίφεσι διεργάζοντο τοὺς
Πέρσας. καὶ Λεωνίδης τε ἐν τούτῳ τῷ πόνῳ πίπτει,
ἀνὴρ γενόμενος ἄριστος, καὶ ἕτεροι μετ' αὐτοῦ οὐ-
νομαστοὶ Σπαρτιητέων, τῶν ἐγὼ ὡς ἀνδρῶν γενο-
μένων ἐπυθόμην τὰ οὐνόματα· ἐπυθόμην δὲ καὶ
ἁπάντων τῶν τριηκοσίων. καὶ δὴ καὶ Περσέων
πίπτουσι ἐνθαῦτα ἄλλοι τε πολλοὶ καὶ οὐνομαστοί,
ἐν δὲ δὴ καὶ Δαρείου δύο παῖδες, Ἀβροκόμης τε
καὶ Ὑπεράνθης, ἐκ τῆς Ἀρτάνεω θυγατρὸς Φραταγ-
γούνης γεγονότες Δαρείῳ. ὁ δὲ Ἀρτάνης, Δαρείου
μὲν τοῦ βασιλῆος ἦν ἀδελφεός, Ὑστάσπεος δὲ τοῦ
Ἀρσάμεω παῖς· ὃς καὶ ἐκδιδοὺς τὴν θυγατέρα Δα-
ρείῳ, τὸν οἶκον πάντα τὸν ἑωϋτοῦ ἐπέδωκε, ὡς
μούνου οἱ ἐούσης ταύτης τέκνου. 225. Ξέρξεώ τε 30
δὴ δύο ἀδελφεοὶ ἐνθαῦτα πίπτουσι μαχεόμενοι, καὶ
ὑπὲρ τοῦ νεκροῦ τοῦ Λεωνίδεω Περσέων τε καὶ
Λακεδαιμονίων ὠθισμὸς ἐγένετο πολλός· ἐς ὃ τοῦ-
τόν τε ἀρετῇ οἱ Ἕλληνες ὑπεξείρυσαν, καὶ ἐτρέψαντο

— ῥώμης ὅσον εἶχον μ. Buttm. gr. Gr. §. 130, 4. — παραχρεώμενοι, σὺν παραχρήσει ἑαυτῶν ἐπιπεσόντες. — ἀτέοντες, ἀφροντιστοῦντες τῆς ἑαυτῶν σωτηρίας.

29. τῶν — — τὰ οὐνόματα. Paus. III, p. 240. κεῖται καὶ στήλη πατρόθεν τὰ οὐνόματα ἔχουσα, οἳ πρὸς Μήδους τὸν ἐν Θερμοπύλαις ἀγῶνα ὑπέμειναν. — ἄλλοι τε — — ἐν δὲ δὴ καί s. vorh. 16. — τὸν οἶκον πάντα. οἶκος der ganze Besitz des Vaters, wie so oft in der Odyssee s. ob. A, 1, 250.

30. ὑπὲρ τοῦ νεκροῦ — — ὠθισμὸς ἐγεν. πολ. wie um die homerischen Helden, Patroklos (Iliad. ρ.), Pandaros, (Iliad. ε.) ꝛc. — ἐς ὅ, wie μεχρὶ οὗ, ἔς τε bis daß. ὑπεξείρυσαν das eigentliche Wort von

τοὺς ἐναντίους τετράκις. τοῦτο δὲ συνεστήκεε, μέχρι οὗ οἱ σὺν Ἐπιάλτῃ παρεγένοντο. ὡς δὲ τούτους ἥκειν ἐπύθοντο οἱ Ἕλληνες, ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ νεῖκος. ἔς τε γὰρ τὸ στεινὸν τῆς ὁδοῦ ἀνεχώρεον ὀπίσω, καὶ παραμειψάμενοι τὸ τεῖχος, ἐλθόντες ἵζοντο ἐπὶ τὸν κολωνὸν πάντες ἁλέες οἱ ἄλλοι πλὴν Θηβαίων. ὁ δὲ κολωνός ἐστι ἐν τῇ ἐςόδῳ, ὅκου νῦν ὁ λίθινος λέων ἕστηκε ἐπὶ Λεωνίδῃ. ἐν τούτῳ σφέας τῷ χώρῳ ἀλεξομένους μαχαίρῃσι, τοῖσι αὐτέων ἐτύγχανον ἔτι περιεοῦσαι, καὶ χερσὶ καὶ στόμασι, κατέχωσαν οἱ βάρβαροι βάλλοντες, οἱ μὲν ἐξ ἐναντίης ἐπισπόμενοι, καὶ τὸ ἔρυμα τοῦ τείχεος συγχώσαντες, οἱ δὲ περιελθόντες πάν-
31 τοθεν περισταδόν. 226. Λακεδαιμονίων δὲ καὶ Θεσπιέων τοιούτων γενομένων, ὅμως λέγεται ἄριστος ἀνὴρ γενέσθαι Σπαρτιήτης Διηνέκης, τὸν τόδε φασὶ εἶπαι τὸ ἔπος· πρὶν ἢ συμμῖξαι σφέας τοῖσι Μήδοισι, πυθόμενον πρός τευ τῶν Τρηχινίων, ὡς, ἐπεὰν οἱ βάρβαροι ἀπιέωσι τὰ τοξεύματα, τὸν ἥλιον ὑπὸ τοῦ πλήθεος τῶν ὀϊστῶν ἀποκρύπτειν· τοσοῦτο τὸ πλῆθος αὐτέων εἶναι· τὸν δέ, οὐκ ἐκπλαγέντα τού-

dem Entreißen des Leichnams. Iliad. ε, 298. δείσας, μήπως οἱ ἐρυσαίατο νεκρὸν Ἀχαιοί. — συνεστήκεε, wie unser bestehen im Sinne von dauern. — ἐνθεῦτεν (vergl. oben A, 1, 11.) ἑτεροιοῦτο τὸ νεῖκος pugnae contentio immutata est. l. IX. 102. ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ πρῆγμα. So νεῖκος öfters, VII, 158. νεῖκος συνῆπτο. — ὁ λίθινος λέων s. ob. D, 3. — ἐπὶ Λεωνίδῃ. ἐπὶ verstärkt die Kraft des Dativs, wie ἐπί τινι λέγειν für einen, zu eines Lobe spr. — μαχαίρῃσι vergl. oben C. 224. — τοῖσι αὐτέων siehe oben 3. — οἱ βάρβαροι — οἱ μέν s. ob. A, 1, 109 und 110. Buttm gr. G. §. 113, 2.

31. τοιούτων γεν. i. e. ἀρίστων ἀνδρῶν. — ὅμως deutet an, wie die vorhergehenden Genit. absol. aufzulösen sind. — τὸν τόδε φασί: die Construction wird durch erklärende Zwischensätze unterbrochen und erst unten durch das wiederholte τὸν δέ — εἶπαι wieder angeknüpft. Die

τοισι, εἶπαι, ἐν ἀλογίῃ ποιεύμενον τὸ Μήδων πλῆ-
θος, ὡς πάντα σφι ἀγαθὰ ὁ Τρηχίνιος ξεῖνος ἀγγέλ-
λοι, εἰ ἀποκρυπτόντων τῶν Μήδων τὸν ἥλιον, ὑπὸ
σκιῇ ἔσοιτο πρὸς αὐτοὺς ἡ μάχη, καὶ οὐκ ἐν ἡλίῳ.
ταῦτα μὲν καὶ ἄλλα τοιουτότροπα ἔπεά φασι Διηνέ-
κεα τὸν Λακεδαιμόνιον λιπέσθαι μνημόσυνα. 227.
Μετὰ δὲ τοῦτον ἀριστεῦσαι λέγονται Λακεδαιμόνιοι 32
δύο ἀδελφεοί, Ἀλφεός τε καὶ Μάρων, Ὀρσιφάντου
παῖδες· Θεσπιέων δὲ εὐδοκίμεε μάλιστα, τῷ οὔνομα
ἦν Διθύραμβος, Ἁρματίδεω. 227. *Θαφθεῖσι δέ* 33
σφι αὐτοῦ ταύτῃ, τῇπερ ἔπεσον, καὶ τοῖσι πρότερον
τελευτήσασι ἢ τοὺς ὑπὸ Λεωνίδεω ἀποπεμφθέντας
οἴχεσθαι, ἐπιγέγραπται γράμματα λέγοντα τάδε·

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται· τοῖσι δὲ Σπαρτιήτῃσι ἰδίῃ·

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε 34
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

Λακεδαιμονίοισι μὲν δὴ τοῦτο· τῷ δὲ μάντι τόδε·

Μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι 35
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,

Erklärung von *εἶπαι* beginnt mit den Worten: *ὡς πάντα σφι* ꝛc. — *ἐν ἀλογίῃ ποιεύμενον* i. e. *οὐδένα τοῦ τῶν Μηδ. πλήθους λόγον ἔχοντα.* vergl. über die ganze Stelle Val. Max. III, 7. Cic. Tusc. 1, 42. Plutarch II, p 866, C. D. führt noch Leonidas und Anderer tapfere Reden an.

33. *τέτορες* §. 27, 2. — Pausanias schreibt auch diese Inschrift dem Simonides zu. —

34. *ἀγγέλλειν.* s. vorh. 10. doch ist die Lesart *ἄγγειλον* nicht unwahrscheinlich. — *ῥήμασι* i. e. *νόμοις.* Lykurgs Gesetze hießen *ῥῆτραι.* S. Cic. Tusc. 1, 42., welcher die Inschrift dem Simonides zuschreibt.

35. *Σπερχειόν.* Dieser Fluß ergießt sich in den sinus

μάντιος, ὃς τότε κῆρας ἐπερχομένας σάφα εἰδώς,
οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ μάντιος ἐπίγραμμα, Ἀμφικτυόνες εἰσί σφεας οἱ ἐπικοσμήσαντες· τὸ δὲ τοῦ μάντιος Μεγιστίεω Σιμωνίδης ὁ Λεωπρέπεός ἐστι κατὰ ξεινίην ὁ ἐπιγράψας.

Maliacus. κῆρας ἐπερχ. s. oben C, 9, 6. — σάφα εἰδώς s. vorh. c. 219.

Bayerische Staatsbibliothek München

A.

ἄβατος, ὁ, ἡ. nicht betreten, unzugängl., unwegsam.
ἀβλαβής, ὁ, ἡ. schadlos, unverletzt.
ἀβουλία, ἡ. d. Unbesonnenheit, Rathlosigkeit.
ἁβρός, ά, όν. zierlich, zart, weichlich.
ἀγαθός, ή, όν. gut, tapfer.
ἀγάλλω, schmücken, ehren. Med. sich ergötzen.
ἄγαλμα, τό. das Bild.
ἀγάομαι. anstaunen.
ἀγαπάω. lieben.
ἀγαστός, ή, όν. bewundrungswürdig, heilig.
ἀγαυός, ή, όν. herrlich, edel.
ἀγγελία, ἡ. die Botschaft.
ἀγγέλλω. melden.
ἄγγος u. ἀγγεῖον, τό. d. Gefäß.
ἀγείρω. sammeln, versammeln, erwerben.
ἀγέλη, ἡ. die Heerde.
ἀγενής (γένος) ὁ, ἡ. ohne Geschlecht, unedel.
ἀγέχορος u. ἀγησίχορος, ὁ, ἡ. dor. (ἡγέομαι) der Chorführer.
ἀγηνορία, (ἄγαν – ἀνήρ) ἡ. Männlichkeit, Muth.
ἀγήνωρ, ορος, ὁ, ἡ. männlich, muthig.
ἀγήραος od. -ατος, ὁ, ἡ. unalternd, unvergänglich.
ἀγκάς. in dem Arme, mit dem Arme.
ἄγκος, τό. Krümmung, Thal,
ἀγκύλος, η, ον. krumm.
ἄγκυρα, ἡ. der Anker.

ἀγλαΐα, ἡ. d. Glanz — Schönheit. Nom. pr. eine der Chariten.
ἀγλαΐζω. schmücken.
ἀγλαός, ά, όν. strahlend, herrlich, trefflich.
ἅγνισμα, τό. Reinigung von einer Schuld.
ἀγνοέω. nicht wissen.
ἁγνός, ή, όν. rein, heilig.
ἄγνωστος oder ἄγνωτος, ὁ, ἡ. unbekannt, unberühmt.
ἀγορά, ἡ. Markt, Versammlung.
ἀγοράζω. kaufen.
ἀγορανόμος, ὁ. (νέμω) Marktaufseher.
ἀγορεύω und ἀγορέομαι. sprechen vor der Versammlung.
ἄγος, τό. Aussühnung, ein auszusühnendes Verbrechen.
ἄγρα, ἡ. Fang, Beute.
ἄγριος, ία, ον. wild, schrecklich, roh. 2. ὁ. d. Landmann.
ἀγριόω. wild machen.
ἀγροίκως. bäuerisch.
ἀγρός, ὁ. der Acker, das Feld.
ἀγρότερος ὁ, ἡ. (ἄγρα) die Jagd liebend (ἀγρός) das Land liebend, ländlich.
ἀγυιά, ἡ. die Straße.
ἄγχι und ἀγχόθι. nahe, bey. auch ἀγχοῦ.
ἄγω, ἄγομαι. treiben, führen. ἄγεσθαι. heirathen.
ἄγω, ἄγνυμι. zerbrechen.
ἀγών, ῶνος, ὁ. der Kampf, Wettstreit, Gefahr.
ἀγωνίζομαι. kämpfen.

ἀγωνοθετέω. die Kämpfe anordnen, über sie richten.

ἀδαμάντινος, η, ον. sehr hart, unverwüstlich.

ἀδάμαστος oder *ἀδάματος* (*δαμάζω*), *ὁ, ἡ.* ungebändigt.

ἀδελφός, ὁ. der Bruder. *ἀδελφή, ἡ.* die Schwester. auch adjectivisch.

ἅδην. genug.

ᾅδης, ἀΐδης. der Gott der Unterwelt. die Unterwelt.

ἀδικέω. beleidigen, kränken. Unrecht thun.

ἄδολος, ὁ, ἡ. truglos, arglos.

ἀδινός, ά, όν. häufig, dicht.

ἅδω (eine alte Form von *ἁνδάνω* vergnügen) sättigen, füllen. *ἀδόντι νόῳ* mit vollem, innigen Gemüthe. 2. intransf. satt haben, Eckel, Ueberdruß haben.

ἅδω, ἁνδάνω. erfreuen. 2. gefallen. Aor. 2. *ἅδον, ἔϝαδον, εὔαδον.*

ᾄδω, ἀείδω. singen.

ἀεθλέω–εύω, ἀθλεύω, kämpfen.

ἄεθλον, ἆθλον, τό. der Kampfpreis, Kampf.

ἄεθλος, ἆθλος, ὁ. der Kampf.

ἀείζωος, ὁ, ἡ. immer, ewig lebend.

ἀεικής, εος, ὁ, ἡ. unziemend, entehrend.

ἀεικίζω. mißhandeln, verunstalten.

ἀείῤῥοος, ὁ, ἡ. immer fließend (*ῥέω*).

ἀείρω und *αἴρω.* in die Höhe heben, aufheben. 2. aufnehmen, davon tragen.

ἀέκων, ἄκων. ungern.

ἀέλλα, ἡ. (*ἀέω*). heftiger Wind, Sturm.

ἀέναος u. *ἀένναος* (*νάω*), *ὁ, ἡ.* immerfließend, ewig.

ἀέξω–ομαι (augeor) wachsen, gedeihen, andre Form von *αὔξω–ανω.*

ἀεργός und *ἀεργής, ὁ, ἡ.* unthätig.

ἀετός u. *αἰετός, ὁ.* d. Adler.

ἅζω, gewöhnlicher *ἅζομαι,* scheuen, Ehrfurcht haben, verehren; hängt zusammen mit *χάζω, χάζομαι.* zurückweichen.

ἀηδών, όνος u. *ἀδών, ἡ.* die Nachtigall.

ἀηδονιδεύς, ὁ. die junge Nachtigall.

ἀήρ, έρος, ὁ. die Luft. *ἀερόεις. εσσα, εν,* luftig, neblicht, düster.

ἄθλιος, ία, ιον. mühselig, elend. *ἀθλίως.*

ἄθραυστος (*θραύω*) *ὁ, ἡ,* unberührt, unverletzt.

ἀθρέω. sehen, schauen.

ἀθρόος–οῦς, versammelt, dicht, häufig. *ἀθρόως* plötzlich.

ἀθυμέω. muthlos seyn.

ἀθυμία, ἡ. die Muthlosigkeit.

αἰάζω. beseufzen, beklagen.

αἰγιαλός, ὁ. das Ufer.

αἰγίλιψ, ιπος, ὁ, ἡ. sehr steil.

αἰγίοχος, ὁ, ἡ. d. Aegide haltend.

αἴγλη, ἡ. Leuchtung, Schein, Fackel.

αἰδέομαι, scheuen, ehren.

ἀΐδηλος, η, ον. (*εἴδω ἰδ–*). sehr sichtbar.

αἰδοῖος, οία, ον. schamhaft, ehrenhaft, ehrwürdig.

αἰέλουρος ion. dor. f. *αἴλουρος ὁ, ἡ.* Kater, Katze.

αἴθαλος, ὁ. d. Ruß, Rauch.

αἰθέριος, ία, ον. luftig, heiter, himmlisch.

αἰθήρ, έρος, ὁ. Luft, Himmel, Aether.

αἴθομαι. brennen.

αἴθοψ, οπος, od. *αἴθων, ωνος.* brennend, glühend; auch von Farben.

αἴθρα, ἡ, und *αἰθρία.* d. reine Luft, der heitre Himmel.

αἰθριοκοιτάω. im Freien schlafen.
αἷμα, τό. das Blut, Mord, Blutschuld.
αἱμασιά, ἡ. der Dornstrauch, die Hecke.
αἱμάσσω. mit Blut beflecken.
αἱματηρός, ά, όν. blutig.
αἱματόεις, εσσα, εν. blutig.
αἱματοσταγής, ὁ, ἡ. bluttriefend.
αἱμύλος-ιος, η, ον. bunt (varius) listig, verschlagen.
αἰνέω. loben, billigen, preisen, glücklich preisen.
αἰνοβίας, ὁ. (βία) schrecklicher Gewalt, furchtbar stark.
αἶνος, ὁ. das Wort, Rede, Lob.
αἰνός, ή, όν. adv. αἰνῶς. schrecklich — sehr. i. q. δεινός in Prosa.
αἴξ, γός, ἡ. die Ziege.
αἰπεινός, ή, όν. hoch, steil.
αἰπόλιον, το. die Ziegenheerde.
αἰπόλος ὁ. auch mit ἀνήρ. od. αἰγῶν. der Ziegenhirt.
αἰπύς, εῖα, ύ. hoch, tief.
αἱρέω-έομαι nehmen, fangen, einnehmen. τί τινος, etwas vor dem andern nehmen, vorziehen, wählen.
αἴρω. heben, aufn., erheben. Med. sich erheben, auf sich nehmen, unternehmen.
ἄϊς, ιδος, ὁ. (der Unsichtbare) die Unterwelt.
αἶσα, ἡ. das Schicksal.
αἴσιμος, α, ον. bestimmt vom Schicksal — schicklich, ziemend.
ἀΐσσω, ᾄσσω, stürmen, eilen.
ἄϊστος, ὁ, ἡ. (ἰδ.) ungewußt, ungewiß, dunkel, unbekannt.
αἶσχος τό. Häßlichkeit, Schande, Schimpf.
αἰσχύνομαι. sich schämen.
αἰσχρός, ά, όν. häßlich, schändlich, schimpflich.
αἰτέω. τινά τι. jemand um etwas bitten, fordern, wünschen. Med. sich etwas erbitten.
αἰτία, ἡ. Schuld, Grund, Klage.
αἴτιος, ία, ον. schuldig, schuld.
αἰτιάζω und αἰτιάομαι. beschuldigen, anklagen.
αἰχμή, ἡ. die Lanze.
αἰχμητής, ὁ. der Lanzenträger.
ἀΐω hören, auf etwas achten. Hängt zusammen mit ἄω, ἀέω αϝω, αἴω hauchen, wehen, aushauchen, daher lebendig seyn überhaupt (geistig); daher
αἰών, ῶνος, ὁ. d. Leben — die Zeit.
ἀϊών, ονος. ἡ. das Ufer.
αἰωρέω. heben, erheben, bewegen.
ἀκάματος, ὁ, ἡ. (κάμνω) unermüdbar.
ἀκαμαντόπους, οδος, ὁ, ἡ. mit unermüdbaren Füßen.
ἄκανθα, ἡ. Dorn, Dornstrauch, auch s. v. a. ἄκανθος, acanthus, Bärenklau.
ἀκαχμένος, geschärft, gespitzt. Part. perf. v. e. ungew. Präsens ἀκω.
ἀκάχω-έω-ίζω. betrüben.
ἀκέομαι. bessern, ausbessern, gut machen, heilen, aussühnen.
ἀκεστήρ, ῆρος, ὁ. der Heilbringer, Retter.
ἀκήρατος, ὁ, ἡ. (κείρω). unbeschädigt, unverletzt. (κεράω). unvermischt, rein.
ἀκιρός. schwach, ohnmächtig.
ἄκλαυστος u. ἄκλαυτος (κλαίω) ὁ, ἡ. unbeweint.
ἄκληρος, ὁ, ἡ. untheilhaftig.
ἀκμή, ἡ. acies, Spitze, Schärfe. 2. punctum Aeußerstes, punct. temporis. Daher ἀκμήν im Augenblick, jetzt, noch. 3. Blüthe, Reife.

ἀκοή, ἡ. das Gehör, Ohr, Gerücht.

ἀκοίτης, ου, ὁ. der Gatte. fem. ἄκοιτις.

ἀκολουθέω folgen. ἀκόλουθος, ὁ, ἡ. der Begleiter, Nachfolger, begleitend.

ἀκοντίζω. den Wurfspieß werfen, schießen.

ἀκόρεστος, ὁ, ἡ (κόρος). unersättlich, daher unbesiegbar.

ἀκόσμιος-μος, ὁ, ἡ. ungeordnet, unanständig, ungebührend.

ἀκούσιος, ὁ, ἡ. nicht freiwillig, ungern.

ἀκρέμων, ονος, ὁ. der Zweig.

ἄκρηβος, ὁ, ἡ. (ἥβη) sehr jung.

ἀκρία, ἡ. sc. γῆ. die Höhe.

ἀκριδοθήρα, ἡ. die Feldgrillenfalle (ἀκρίς, ίδος).

ἄκρις, ιος, ἡ. Klippe, Spitze.

ἄκρος, α, ον. hoch. τὰ ἄκρα. die Höhen.

ἀκρωτήριον, τό. d. Aeußerste, Vorgebirge, Verdeck.

ἀκταῖος, αία, ον. am Ufer liegend.

ἀκτή, ἡ. das Ufer.

ἀκτίς, ῖνος, ἡ. der Strahl.

ἀλάβαστρον, τό. Alabaster, Salbenbüchse daraus.

ἀλαλάζω jauchzen von ἀλαλαί ein jauchzender Ausruf.

ἀλαλκεῖν und ἀπαλαλκεῖν entfernen, abwehren. hängt mit ἀλέξειν zusammen.

ἀλάομαι. umherschweifen, in Gedanken, ungewiß seyn. ἀλάλημαι, mit Bedeut. des Präsens.

ἀλαόω blenden, blind machen, mit Genit. ὀφθαλμοῦ. hängt zusammen mit ἀλέω, ἀλάω, entfernen, losmachen.

ἀλαός, ὁ, ἡ. blind.

ἄλαστος, ὁ, ἡ. ion. (λαθ– λανθάνω). was man nicht vergessen kann, unerträglich, drückend.

ἀλάστωρ, ορος, ὁ. d. Missethäter.

ἀλγέω. Schmerzen fühlen, τι.

ἀλγηδών, όνος, ὁ. d. Schmerz, vorzüglich körperlich.

ἄλγος, τό. der Schmerz, Ursache der Trauer.

ἀλεγεινός, ἡ, όν. betrübt, traurig, schwer.

ἀλεγίζω. sich kümmern um etw.

ἀλέγω -ίζω -ύνω. sich kümmern, sorgen um etwas.

ἀλεείνω. vermeiden, andere Form von ἀλέομαι.

ἀλειτούργητος, ὁ, ἡ. frey von öffentlichen Staatsleistungen.

ἀλείφω. salben.

ἀλέξομαι. abwehren, sich schützen.

ἄλευρον, τό. Weizenmehl.

ἀλής, ὁ, ἡ. ion. gehäuft, voll, zusammen.

ἁλία, ἡ. die Versammlung, der Volksbeschluß.

ἁλιερκής, ὁ, ἡ. (ἅλς εἴργω) Meerumzäunend, einengend.

ἅλιος, α, ον (ἅλς). zum Meere gehörig.

ἅλις. genug, reichlich.

ἁλίσκομαι. ich werde gefangen. ἑάλων, ἑάλωκα.

ἀλίτομαι (λιτή). freveln.

ἀλιτρέω. freveln. ἀλιτρός. ἀλιτρία, ἡ. d. Frevel.

ἀλίτρυτος (τρύω) ὁ, ἡ. von dem Meere hin und her geschlagen.

ἀλκή, ἡ. die Stärke.

ἀλκήεις, εσσα, εν. stark, mächtig.

ἄλκιμος, ὁ, ἡ. stark, tapfer.

ἀλλοδαπός (δᾶ f. γᾶ. §. 13, A, 3.) aus einem andern Lande, fremd.

ἄλλομαι. springen.

ἄλλοτε. bisweilen.

ἀλλότριος, ία, ιον. fremd, ungehörig.

ἀλλοφρονέω. anders denken, anderer Meinung seyn.

ἅλμα, τό. d. Sprung. 2. Vorsprung von einer Felsenhöhe.
ἅλμη, ἡ. Fluth – Meerschaum.
ἀλογία, ἡ. Unvernunft, Nichtachtung, Verachtung.
ἀλόγιστος, ὁ, ἡ. unüberlegt, unbedachtsam.
ἄλοχος, ου, ἡ. die Gattin.
ἄλυπος, ὁ, ἡ. kummerlos.
ἀλυσκάζω, ἀλύσκω, ἀλύω. vermeiden, umherirren.
ἄλυτος, ὁ, ἡ. unauflöslich.
ἀλφηστής, οῦ, (ἀλφέω) erfindsam, erwerbsam.
ἀλωά, ἡ. ein (vorzüglich mit Weinstöcken) besäetes Feld, Saatfeld, Tenne, weil das Getreide auf dem Felde ausgedroschen wurde.
ἀλώπηξ, εκος, ἡ. der Fuchs.
ἀμαιμακετός, ἡ, όν. (μῆκος) groß, ausgedehnt.
ἀμαρτάνω. fehlen, irren, verfehlen. ἤμβροτεν.
ἀμάω. abschneiden, mähen.
ἀμβρόσιος, ία, ον. göttlich, ambrosisch. ἀμβροσία, ἡ. Göttersspeise.
ἄμβροτος, ὁ, ἡ. unsterblich, göttlich.
ἀμείβω. wechseln lassen, verändern, neben – über etwas hingehen, superare. Med. antworten τινα. erwiedern, einem etwas vergelten, sich dankbar beweisen.
ἀμειδητος, ὁ, ἡ. nicht lachend, unfreundlich, traurig.
ἀμείλιχος, ὁ, ἡ. unsanft.
ἀμείρω. berauben.
ἀμέλγω. saugen, Med. melken.
ἀμελέω, unbekümmert seyn, vernachlässigen.
ἄμετρος und ἀμέτρητος, ὁ, ἡ. ohne Maaß, unermeßlich.
ἀμηχανία, ἡ. die Hülflosigkeit, Unmöglichkeit.
ἄμμα, τό. geknüpfter Riemen, Knoten, das Aufknüpfen.
ἄμμορος (μοῖρα). vom Schicksal verlassen, unglücklich. 2. des gebührenden Antheils beraubt.
ἀμνίς, δος, ἡ und ἀμνος, ὁ. das Lamm.
ἀμνοφόρος. Lammtragend, trächtig überhaupt.
ἀμοιβαδίς. wechselsweise.
ἀμοιβαῖος, α, ον. vergeltend.
ἀμοιβή, ἡ. die Vergeltung.
ἄμοιρος, ὁ, ἡ. untheilhaftig.
ἀμολγεύς, ὁ. ein Milchgefäß.
ἄμορφος, ὁ, ἡ. ungebildet, ungestaltet.
ἄμουσος, ὁ, ἡ. Musen-Gesanglos. der Todte.
ἄμπελος, ἡ. der Weinstock.
ἀμπεχόνη, ἡ. und ἀμπέχονον, τό. der Mantel, Ueberkleid.
ἀμπλακία, ἡ. Irrthum, Fehler, Vergehen.
ἄμπυξ, ὁ. die Spange zur Befestigung der Haare, Stirnband, auch von Rossen.
ἀμύμων, ονος, ὁ, ἡ. (μῶμος) untadelig, trefflich, brav.
ἀμύνω. abwehren, vertheidigen.
ἀμφαδόν, ἀμφαδά, -δίη. offenbar.
ἀμφίαλος (ἅλς) ὁ, ἡ. vom Meere umspült.
ἀμφιάχω. laut schreien.
ἀμφίβιος, ὁ, ἡ. doppellebig – Amphibie.
ἀμφιγνόφαλλον, τό, aeol. f. ἀμφιγναφ. (γναφεύω) §. 6, 3. ein ausgestopftes Kissen zu beyden Seiten des Bettes.
ἀμφιδοκεύω. sich überall hin umsehen.
ἀμφιέννυμι. umziehen. Med. sich umkleiden, umnehmen.
ἀμφιέπω. um etwas herum gehen, umgeben, beschäftigt seyn, besorgen.
ἀμφικομέω. überall, eifrig besorgt seyn um etwas.

ἀμφίλογος, ὁ, ἡ. zweydeutig, streitig. τὰ ἀμφίλογα. die Streitigkeiten.
ἀμφιπεριктίονες, οἱ, i. q. ἀμφικτίονες (κτίζω). die Umwohnenden, Nachbarn.
ἀμφιπολέω. umwandeln, sorgend, pflegend, schützend.
ἀμφίπολος, ἡ. die Dienerin.
ἀμφιποτάομαι. herumfliegen.
ἀμφίς. von beyden Seiten, rings herum, dazwischen, gesondert, auseinander.
ἀμφίχρυσος, ὁ, ἡ. mit Golde umlegt, geschmückt.
ἀμφοτέρωθεν. von beyden Seiten.
ἀμφώης, ὁ, ἡ. (οὖς), mit doppelten Ohren, Henkeln.
ἀναβαίνω. hinaufsteigen, gehen.
ἀναβάλλω. Med. anheben, anfangen, erheben, anlegen, τὸ ἱμάτιον. überheben sich, τινός, einer Sache.
ἀναβολή, ἡ. das Vorspiel, wo das Thema des Gesanges angegeben wird.
ἀναγκάζω. ich zwinge.
ἀνάγκη, ἡ. die Nothwendigkeit.
ἀνάγω – ομαι. hinaufführen, schiffen in die hohe See.
ἀνάδετος, ὁ, ἡ. auf= zurückgebunden.
ἀναδέχομαι. auf, über sich nehmen, versprechen.
ἀναδιδάσκω. belehren.
ἀναείρω. hinaufheben.
ἀναίδεια, ἡ. Schamlosigkeit, Unverschämtheit.
ἀναιμόσαρκος, ὁ, ἡ. mit blutlosem Fleische.
ἀναίνομαι. sich weigern.
ἀναιρέω. in die Höhe, auf sich nehmen, wegnehmen, zerstören.
ἀναΐσσω. aufstürmen.
ἀναίτιος, ὁ, ἡ. grundlos, unschuldig.
ἀνακαλέω. anrufen.
ἀνακαλύπτω. enthüllen.
ἀνακηρύσσω. ausrufen, öffentlich bekannt machen.
ἀνακλαίω. aufweinen — laut, heftig.
ἀνακοινόομαι. mittheilen.
ἀνακρεμάω–άννυμι. aufhängen. Med. schweben.
ἀνάκρισις, ἡ. Untersuchung, Entscheidung.
ἀνάλγητος, ὁ, ἡ. ohne Schmerz, Kummer.
ἀναλίσκω. verzehren.
ἀνάλλομαι. in die Höhe springen.
ἀναμένω. zurückbleiben, erwarten. c. Acc.
ἀνάμιγα. vermischt, zugleich mit.
ἀναμίγνυμι – μίσγω. zusammenmischen.
ἀνάνιος (ἀνία), ὁ, ἡ. schmerzlos, ungekränkt.
ἄναξ, κτος, der Herr, König.
ἀναπάλλω. aufschwingen.
ἀναπαύω. zur Ruhe bringen, stillen. Med. aufhören, ausruhen, auch vom sanften Sterben.
ἀναπείθω. überreden. Med. sich überreden lassen.
ἀναπετάω – άζω. ausbreiten.
ἀναπνέω. ausathmen, aushauchen, wieder aufathmen.
ἀναπολίζω. umwenden, umpflügen.
ἀνάριθμος, ὁ, ἡ. unzählig. auch ἀναρίθμητος.
ἀνάριστος (ἄριστον), d. kein Mittagsbrod gegessen.
ἄνασσα, ἡ. die Herrscherin, Gebieterin.
ἀνάσσω. beherrschen, gebieten.
ἀνάστασις, ἡ. das Aufstehen, Erheben, der Aufstand.
ἀνάστατος, ὁ, ἡ. verwüstet.
ἀναστενάχω – ίζω. aufseufzen.
ἀναστηρίζω. stützen.

ἀνατίθημι. auf etwas legen, aufheben, vorzüglich zur Weihe.
ἀνατρέπω. umwerfen, – kehren.
ἀνατροπή, ἡ. der Umsturz.
ἀνατρέχω. hinauf= zurücklaufen, entfliehen.
ἄναυρος, ὁ. der Waldstrom.
ἀναφαίνω. zeigen, zum Vorschein bringen.
ἀναχωρέω. zurückgehen, kehren.
ἀναψύχω. anwehen, kühlen.
ἁνδάνω. gefallen, verwandt mit ἥδω–ομαι, erfreuen, vergnügen.
ἀνδραποδίζω. zum Sclaven machen.
ἀνδρεῖος. männlich.
ἀνδροφόνος, ὁ, ἡ. Männermordend.
ἄνειμι. herauf= zurückgehen.
ἀνειρύω und ἀνερύω. hinaufziehen.
ἀνερωτάω. erfragen.
ἀνέκαθεν. aus der Ferne, von oben herab.
ἀνεμόεις, εσσα, εν. windig, vom Winde umbraust.
ἀνεμώνη, ἡ. die Anemone.
ἀνέραστος, ὁ, ἡ. nicht liebend.
ἄνευθε. abgesondert, entfernt.
ἀνέχω. in die Höhe richten. Med. auf sich nehmen, ertragen, dulden. c. Particip.
ἀνηβάω. wieder jung werden.
ἄνηβος, ὁ, ἡ. unerwachsen, unter dem männlichen Alter.
ἄνηθον, τό. anethum, Dill.
ἀνήλιος, ὁ, ἡ. sonnenlos, unbesonnt.
ἀνήνεμος, ὁ, ἡ. windlos, windstill.
ἀνήνυτος, ὁ, ἡ. nicht zu vollenden.
ἀνήρ, ὁ. der Mann, wird oft mit andern Adject. und Substant. zusammengesetzt. ἀνὴρ αἰπόλος. ἀν. θνητός ꝛc. ἄνδρες λῃϊσταί, Seeräuber.

ἀνήσσητος, ὁ, ἡ. unüberwindlich, unüberwunden.
ἀνθεμόεις, εσσα, εν. blumig.
ἀνθέριξ, ὁ. Stengel, Aehre, Halm.
ἀνθέω. blühen.
ἀνθηρός, ά, όν. blühend.
ἄνθος, τό. die Blume, Blüthe.
ἄνθραξ, ὁ. die Kohle.
ἀνθρωπίζειν. menschlich seyn.
ἀνία, ἡ. der Schmerz, Verdruß, Kummer.
ἀνιαρός, ά, όν. lästig, feindlich, schmerzlich.
ἀνιάω. belästigen, betrüben.
ἀνίημι. anschicken, immittere; antreiben. nachlassen, loslassen, remittere.
ἀνίκητος, ὁ. ἡ. unbesiegt.
ἀνίστημι. aufrichten, in die Höhe heben.
ἀνοίγω. öffnen, eröffnen.
ἄνοος, ὁ, ἡ. vernunftlos, sinnlos, betroffen. ἄνεῳ.
ἀνοπαῖα (ὄψ) aus dem Gesichte.
ἀνορθόω. aufrichten.
ἀνορούω. aufspringen.
ἄνοσος, ὁ, ἡ. ohne Krankheit, Leid.
ἄντα. entgegen.
ἀνταείρω dagegen erheben. Med. sich erheben, widersetzen.
ἀντάω begegnen, und ἀντιάω–άζω.
ἄντην. gegenüber.
ἀντίθεος, ὁ, ἡ. Gott gleich, göttlich.
ἀντίξοος, ὁ, ἡ. entgegenstrebend.
ἀντίος, ία, ον. entgegen.
ἀντίπαλος (πάλη) entgegen, feindlich. ὁ, der Feind.
ἀντιπέρα – αν – ας. gegenüber.
ἀντιτείνω, gegenseitig=entgegen spannen, ziehen, sich widersetzen. 2. gegen über sich erstrecken.
ἀντιφιλέω. gegenseitig lieben.

ἄντλος, ὁ. das Meerwasser, das in das Schiff eindringt.
ἄντομαι. begegnen.
ἄντρον, τό. die Höle, Grotte.
ἄντυξ, γος, ἡ. Spange, Reif, Rand, vorzügl. am Wagen.
ἀνυσιεργός, ὁ, ἡ. Arbeit vollbringend, emsig.
ἀνύω – ττω, vollenden.
ἀνώγω. gebieten.
ἄνωθεν. von oben.
ἀξιόμισος, ὁ, ἡ. hassenswürdig.
ἄξιος ια, ον. würdig, werth.
ἄξων, ονος, ὁ. die Achse des Wagens.
ἀοιδή, ἡ. der Gesang.
ἀοίδιμος, ὁ, ἡ. gesangreich.
ἀοιδός, ὁ. der Sänger.
ἀολλής, έος, ὁ, ἡ. versammelt.
ἄορ, ορος, τό. (ἀείρω) das Schwert, weil es hängt.
ἀπαμείβομαι. antworten.
ἀπαθής, ὁ, ἡ. frey von Noth, Leiden, Krankheit.
ἄπαις, ὁ, ἡ. kinderlos.
ἀπαιτέω. abfordern.
ἀπαλαλκέω. abwehren.
ἀπαλλαγή, ἡ. Befreyung, Entlassung, Entfernung, Abreise.
ἀπαλλάσσω. entfernen. Med. sich entfernen, frey seyn.
ἁπαλός, ή, όν. zart, weich.
ἀπάνευθε. abwärts, entfernt, fernhin.
ἀπαντάω. begegnen.
ἅπαξ. einmal.
ἀπαξιόω. für unwürdig halten.
ἀπατάω. betrügen.
ἀπάτη, ἡ. der Betrug.
ἀπείρων, ονος. unbegrenzt.
ἀπέρχομαι. weggehen, sich entfernen von etwas, aufhören.
ἀπεχθής, ὁ, ἡ. verhaßt.
